αὐτὸν ἡ ἐρημία μᾶς παρέχει μέγιστον ὄφελος, κατευνάζουσα τὰ πάθη μας καὶ δίδουσα εἰς τὸ λογικὸν τὴν ἄνεσιν νὰ τὰ ξερριζώσῃ τελείως ἀπὸ τὴν ψυχήν. Διότι, ὅπως τὰ θηρία εἶναι εὐκατάβλητα ὅταν ἡμερωθοῦν, οὕτω καὶ αἱ ἐπιθυμίαι, αἱ ὀργαὶ καὶ αἱ λύπαι, τὰ ἰοβόλα κακὰ τῆς ψυχῆς, ὅταν διὰ τῆς ἡσυχίας κατευνασθοῦν καὶ παύσουν νὰ ἐξαγριώνωνται μὲ τὸν συνεχῆ ἐρεθισμόν, γίνονται εὐκαταγώνιστα διὰ τῆς δυνάμεως τῆς λογικῆς. Ἐπομένως ὁ τόπος πρέπει νὰ εἶναι ἀκριβῶς σὰν τὸν ἰδικόν μας, ἀπηλλαγμένος ἀπὸ τὴν ἐπικοινωνίαν μὲ ἀνθρώπους, ὥστε ἡ συνοχὴ τῆς ἀσκήσεως νὰ μὴ διακόπτεται ἀπὸ κανένα ἐξωτερικὸν περισπασμόν.

Ἡ δὲ ἄσκησις τῆς εὐσεβείας τρέφει τὴν ψυχὴν μὲ θεῖα διανοήματα. Τί εἶναι λοιπὸν μακαριώτερον ἀπὸ τὸ νὰ μιμῆται κανεὶς ἐπὶ τῆς γῆς τὴν χορείαν τῶν ἀγγέλων; Εὐθὺς μὲ τὴν αὐγὴν τῆς ἡμέρας νὰ ὁρμᾷ εἰς προσευχήν, διὰ νὰ αἰνέσῃ τὸν κτίστην μὲ ὕμνους καὶ ᾠδάς; Ἔπειτα, ἀφοῦ ὁ ἥλιος λάμψῃ καθαρά, νὰ στρέφεται εἰς τὰ ἔργα, ἐνῷ ἡ προσευχὴ τὸν ἀκολουθεῖ πάντοτε, ὥστε νὰ ἀρτύῃ τὰς ἐργασίας του μὲ ὕμνους σὰν μὲ ἅλας; Διότι τὴν ψυχικὴν κατάστασιν εἰς τὴν ὁποίαν ἐπικρατεῖ χαρὰ καὶ ὄχι λύπη χαρίζουν αἱ παρηγορίαι τῶν ὕμνων.

Ἀρχὴ καθάρσεως τῆς ψυχῆς λοιπὸν εἶναι ἡ ἡσυχία, κατὰ τὴν ὁποίαν οὔτε ἡ γλῶσσα συζητεῖ τὰς ἀνθρωπίνας ὑποθέσεις οὔτε οἱ ὀφθαλμοὶ κυττάζουν τὰ ροδαλὰ καὶ ἁρμονικὰ σώματα οὔτε ἡ ἀκοὴ προσελκύει τὴν προσοχὴν τῆς ψυχῆς εἰς ἀκρόασιν μελῳδιῶν ποὺ εἶναι συντεθειμέναι χάριν ἡδονῆς ἢ εἰς λόγους εὐτραπέλων καὶ ἀστείων ἀνθρώπων, κάτι ποὺ ἔχει κατ' ἐξοχὴν τὴν δύναμιν νὰ παραλύῃ τὴν προσήλωσιν τῆς ψυχῆς. Διότι ὁ νοῦς, ὅταν δὲν διασκορπίζεται πρὸς τὰ ἔξω καὶ δὲν διαχέεται διὰ τῶν αἰσθητηρίων πρὸς τὸν κόσμον, ἐπιστρέφει πρὸς τὸν ἑαυτόν του καὶ ἀπὸ τὸν ἑαυτόν του ἀναβαίνει πρὸς τὴν ἔννοιαν τοῦ Θεοῦ. Καθὼς δὲ περιαυγάζεται καὶ φωτίζεται ἀπὸ ἐκεῖνο τὸ κάλλος, λησμονεῖ καὶ τὴν ἰδικήν του φύσιν ἀκόμη· δὲν ἑλκύει τὴν ψυχὴν εἰς φροντίδα διὰ τὴν τροφὴν οὔτε εἰς μέριμναν διὰ τὴν ἐνδυμασίαν, ἀλλά, ἐλεύθερος ἀπὸ γηίνας φροντίδας,

αὐτῷ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία, πῶς δὲ ἡ δικαιοσύνη καὶ ἡ φρόνησις καὶ αἱ λοιπαὶ ἀρεταὶ ὅσαι, ταῖς γενικαῖς ταύταις ὑποδιαιρούμεναι, καθηκόντως ἕκαστον ἐπιτελεῖν τῶν κατὰ τὸν βίον ὑποβάλλουσι τῷ σπουδαίῳ;

3. Μεγίστη δὲ ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν ἡ μελέτη τῶν θεοπνεύστων Γραφῶν. Ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται, καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν ἀνάγραπτοι παραδεδομένοι, οἷον εἰκόνες τινὲς ἔμψυχοι τῆς κατὰ Θεὸν πολιτείας, τῷ μιμήματι τῶν ἀγαθῶν ἔργων, πρόκεινται. Καὶ τοίνυν περὶ ὅπερ ἂν ἕκαστος ἐνδεῶς ἔχοντος ἑαυτοῦ αἰσθάνηται, ἐκείνῳ προσδιατρίβων, οἷον ἀπό τινος κοινοῦ ἰατρείου, τὸ πρόσφορον εὑρίσκει τῷ ἀρρωστήματι φάρμακον. Καὶ ὁ μὲν ἐραστὴς τῆς σωφροσύνης τὴν περὶ τοῦ Ἰωσὴφ ἱστορίαν συνεχῶς ἀνελίσσει καὶ παρ' αὐτοῦ τὰς σωφρονικὰς ἐκδιδάσκεται πράξεις, εὑρίσκων αὐτὸν οὐ μόνον ἐγκρατῶς πρὸς ἡδονὰς ἔχοντα, ἀλλὰ καὶ ἐκτικῶς πρὸς ἀρετὴν διακείμενον. Ἀνδρείαν δὲ παιδεύεται παρὰ τοῦ Ἰώβ, ὃς οὐ μόνον, πρὸς τὰ ἐναντία τοῦ βίου μεταπεσόντος αὐτῷ πένης ἐκ πλουσίου καὶ ἄπαις ἀπὸ καλλίπαιδος ἐν μιᾷ καιροῦ ῥοπῇ γενόμενος, διέμενεν ὁ αὐτὸς ἀταπείνωτον πανταχοῦ τὸ τῆς ψυχῆς φρόνημα διασώζων, ἀλλ' οὔτε τῶν φίλων εἰς παραμυθίαν ἡκόντων ἐπεμβαινόντων αὐτῷ καὶ συνεπιτεινόντων τὰ ἀλγεινὰ παρωξύνθη. Πάλιν σκοπῶν τις πῶς ἂν πρᾷος ἐν τῷ αὐτῷ καὶ μεγαλόθυμος γένοιτο, ὥστε τῷ μὲν θυμῷ κατὰ τῆς ἁμαρτίας κεχρῆσθαι, τῇ δὲ πραότητι πρὸς τοὺς ἀνθρώπους, εὑρήσει τὸν Δαβὶδ γενναῖον μὲν ἐν τοῖς κατὰ πόλεμον ἀνδραγαθήμασι, πρᾷον δὲ καὶ ἀκίνητον ἐν ταῖς τῶν ἐχθρῶν ἀντιδόσεσι. Τοιοῦτος καὶ Μωσῆς, μεγάλῳ μὲν τῷ θυμῷ κατὰ τῶν εἰς Θεὸν ἐξαμαρτανόντων

2. Αἱ ἀρεταὶ αὐταὶ ἀποτελοῦν τὴν τετρακτὺν τῆς ἠθικῆς τῶν Ἑλλήνων τῆς κλασικῆς ἀρχαιότητος.

ὅλην του τὴν προσοχὴν μεταθέτει εἰς τὴν ἀπόκτησιν τῶν αἰωνίων ἀγαθῶν, ἤτοι εἰς τὸ πῶς θὰ ἐπιτύχῃ τὴν σωφροσύνην καὶ τὴν ἀνδρείαν, τὴν δικαιοσύνην καὶ τὴν φρόνησιν [2], καθὼς καὶ ὅσας ἄλλας ἀρετὰς ποὺ ὑπάγονται εἰς τὰς ἀνωτέρω γενικάς, αἱ ὁποῖαι ἱκανώνουν τὸν ἀγαθὸν ἄνδρα νὰ ἐπιτελῇ ὅλα τὰ καθήκοντα τῆς ζωῆς.

3. Σπουδαιοτάτη δὲ ὁδὸς πρὸς εὕρεσιν τοῦ καθήκοντος εἶναι καὶ ἡ μελέτη τῶν θεοπνεύστων Γραφῶν· διότι εἰς αὐτὰς καὶ αἱ ἐντολαὶ περὶ τῶν πράξεων περιέχονται καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν, παραδιδόμενοι ἐγγράφως σὰν ἔμψυχοι εἰκόνες τῆς κατὰ Θεὸν διαγωγῆς, πρόκεινται ἐνώπιον τῶν ἀνθρώπων πρὸς μίμησιν τῶν ἀγαθῶν των ἔργων. Οὕτω λοιπὸν κάθε ἄνθρωπος εἰς ὅ,τι αἰσθάνεται τὸν ἑαυτόν του ἐλλιπῆ, εὑρίσκει τὸ πρόσφορον εἰς τὸ ἀρρώστημα φάρμακον σὰν ἀπὸ κάποιο κοινὸν ἰατρεῖον, ἐὰν ἀφοσιωθῇ εἰς τὸ ἀνάλογον μίμημα.

Καὶ ὁ μὲν φίλος τῆς σωφροσύνης ἀνοίγει συνεχῶς τὴν ἱστορίαν τοῦ Ἰωσὴφ καὶ διδάσκεται ἀπὸ αὐτὸν τὰς σώφρονας πράξεις, εὑρίσκων αὐτὸν ὄχι μόνον ἁπλῶς ἐγκρατῆ ἔναντι τῶν ἡδονῶν, ἀλλὰ καὶ σταθερῶς κλίνοντα πρὸς τὴν ἀρετήν. Τὴν δὲ ἀνδρείαν μανθάνει ἀπὸ τὸν Ἰώβ, ὁ ὁποῖος ὄχι μόνον ὅταν ὁ βίος του μετέπεσεν εἰς ἀντίξοον κατάστασιν, ὁπότε ἔγινε εἰς μίαν στιγμὴν ἀπὸ πλουσίου πτωχὸς καὶ ἀπὸ καλλιτέκνου ἄτεκνος, παρέμεινεν ἀμετακίνητος, διατηρῶν πάντοτε ἀταπείνωτον τὸ φρόνημα τῆς ψυχῆς, ἀλλὰ καὶ δὲν κατελήφθη ἀπὸ ὀργὴν οὔτε ὅταν οἱ φίλοι ποὺ ἦλθαν νὰ τὸν παρηγορήσουν ἐπενέβησαν καὶ ηὔξησαν τὰ δεινά του. Πάλιν, ἐὰν σκέπτεται κανείς, πῶς θὰ ἠδύνατο νὰ γίνῃ ταυτοχρόνως πρᾶος καὶ μεγαλόθυμος, ὥστε τὸν μὲν θυμὸν νὰ χρησιμοποιῇ κατὰ τῆς ἁμαρτίας τὴν δὲ πραότητα πρὸς τοὺς ἀνθρώπους, θὰ εὕρῃ τὸν Δαβὶδ γενναῖον μὲν εἰς τὰ πολεμικὰ ἀνδραγαθήματα, πρᾶον δὲ καὶ ἀκίνητον εἰς τὴν κατὰ τῶν ἐχθρῶν ἐκδίκησιν. Τοιοῦτος ἦτο καὶ ὁ Μωϋσῆς, ὁ ὁποῖος ὕψωνε μὲ θυμὸν τὸ ἀνάστημά του ἐναντίον ὅσων ἡμάρταναν ἔναντι τοῦ Θεοῦ, τὰς δὲ κατ' αὐτοῦ τοῦ ἰδίου δια-

διανιστάμενος, πραείᾳ δὲ τῇ ψυχῇ τὰς καθ' ἑαυτοῦ διαβολὰς ὑποφέρων. Καὶ πανταχοῦ, ὥσπερ οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνος εἰκόνα γράφουσι, πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα, οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν καὶ τὸ ἐκείνων ἀγαθὸν οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως.

4. Εὐχαὶ πάλιν τὰς ἀναγνώσεις διαδεχόμεναι νεαρωτέραν τὴν ψυχὴν καὶ ἀκμαιοτέραν τῷ πρὸς Θεὸν πόθῳ κεκινημένην παραλαμβάνουσιν. Εὐχὴ δὲ καλὴ ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ Θεοῦ ἔννοιαν τῇ ψυχῇ. Καὶ τοῦτό ἐστι τοῦ Θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν Θεόν. Οὕτω γινόμεθα ναὸς Θεοῦ, ὅταν μὴ φροντίσι γηίναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, ὅταν μὴ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράττηται, ἀλλὰ πάντα ἀποφυγὼν ὁ φιλόθεος ἐπὶ Θεὸν ἀναχωρῇ καί, ἐξελαύνων τὰ προσκαλούμενα ἡμᾶς εἰς κακίαν, τοῖς πρὸς ἀρετὴν ἄγουσιν ἐπιτηδεύμασιν ἐνδιατρίβῃ.

5. Καὶ πρῶτόν γε πάντων σπουδάζειν προσήκει περὶ τὴν τοῦ λόγου χρῆσιν μὴ ἀμαθῶς ἔχειν, ἀλλ' ἐρωτᾶν μὲν ἀφιλονείκως, ἀποκρίνεσθαι δὲ ἀφιλοτίμως, μὴ διακόπτοντα τὸν προσδιαλεγόμενον ὅταν τι χρήσιμον λέγῃ, μηδὲ ἐπιθυμοῦντα τὸν ἑαυτοῦ λόγον ἐπιδεικτικῶς παρεμβάλλειν, μέτρα ὁρίζοντα λόγῳ καὶ ἀκοῇ, μανθάνειν δὲ ἀνεπαισχύντως καὶ διδάσκειν ἀνεπιφθόνως, καί, εἴ τι παρ' ἑτέρου δεδίδακται, μὴ ἐπικρύπτειν ὥσπερ αἱ φαῦλαι τῶν γυναικῶν, αἱ τὰ νόθα ὑποβαλλόμεναι, ἀλλὰ κηρύσσειν εὐγνωμόνως τὸν πατέρα τοῦ λόγου. Τόνος δὲ φωνῆς ὁ μέσος προτιμητέος ὡς μήτε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότητος, μήτε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως. Προεξετάσαντα δὲ ἐν ἑαυτῷ

βολὰς ὑπέφερε μὲ πραότητα ψυχῆς. Καὶ γενικῶς, ὅπως οἱ ζωγράφοι, ὅταν ζωγραφίζουν εἰκόνας ἀπὸ πρότυπα ἀποβλέποντες σταθερὰ εἰς τὸ παράδειγμα, προσπαθοῦν νὰ μεταφέρουν τὸν χαρακτῆρα τοῦ προτύπου εἰς τὸ καλλιτέχνημά των, οὕτω καὶ ὅποιος προσπαθεῖ νὰ καταστήσῃ τὸν ἑαυτόν του τέλειον εἰς κάθε εἶδος ἀρετῆς, πρέπει νὰ προσβλέπῃ εἰς τοὺς βίους τῶν ἁγίων, σὰν ἀγάλματα κινούμενα καὶ δρῶντα, καὶ νὰ οἰκειοποιῆται τὴν ἀγαθότητα ἐκείνων διὰ τῆς μιμήσεως.

4. Εὐχαὶ δὲ πάλιν, διαδεχόμεναι τὴν ἀνάγνωσιν, εὑρίσκουν τὴν ψυχὴν νεαρωτέραν καὶ ἀκμαιοτέραν, καθὼς κινεῖται ἀπὸ τὸν πόθον πρὸς τὸν Θεόν. Καλὴ δὲ εὐχὴ εἶναι ἐκείνη ποὺ ἐμφυτεύει εἰς τὴν ψυχὴν καθαρὰν τὴν ἔννοιαν τοῦ Θεοῦ. Ἐνοίκησις δὲ τοῦ Θεοῦ εἶναι τοῦτο, τὸ νὰ ἔχῃ κανεὶς τὸν Θεὸν ἱδρυμένον μέσα του διὰ τῆς μνήμης. Τότε δὲ γινόμεθα ναοὶ τοῦ Θεοῦ, ὅταν ἡ συνοχὴ τῆς μνήμης δὲν διακόπτεται ἀπὸ γηίνας φροντίδας καὶ ὁ νοῦς δὲν διαταράσσεται ἀπὸ ἀπροσδόκητα πάθη. Ὁ φιλόθεος ἀναχωρεῖ εἰς Θεόν, ἀποφεύγων ὅλα τὰ ἀνωτέρω καὶ ἐκδιώκων τὰ πάθη ποὺ τὸν προσκαλοῦν εἰς ἀκράτειαν, καὶ ἐνδιατρίβει εἰς τὰς ἀσχολίας ποὺ ὁδηγοῦν εἰς ἀρετήν.

5. Καὶ πρῶτα ἀπὸ ὅλα πρέπει νὰ φροντίζῃ νὰ μὴ φέρεται ἀμαθῶς εἰς τὰς συζητήσεις, ἀλλὰ νὰ ἐρωτᾷ μὲν χωρὶς ἐριστικότητα, νὰ ἀπαντᾷ δὲ χωρὶς ὑπεροψίαν, νὰ μὴ διακόπτῃ τὸν συνομιλητήν του ὅταν λέγῃ κάτι χρήσιμον οὔτε νὰ ἐπιθυμῇ νὰ παρεμβάλλῃ ἐπιδεικτικῶς τὸν ἰδικόν του λόγον, τηρῶν ἰσοζύγιον λόγου καὶ ἀκοῆς· νὰ μανθάνῃ δὲ χωρὶς ἐντροπὴν καὶ νὰ διδάσκῃ χωρὶς φθόνον· καί, ἂν ἔχῃ διδαχθῇ ἀπὸ ἄλλον, νὰ μὴ τὸ κρύπτῃ σὰν αἱ φαῦλαι γυναῖκες ποὺ παρουσιάζουν νόθα τέκνα ὡς ἰδικά των, ἀλλὰ νὰ φανερώνουν μ' εὐγνωμοσύνην τὸν πατέρα τῶν σκέψεών των. Τόνος δὲ φωνῆς νὰ προτιμᾶται ὁ μέτριος, ὥστε οὔτε νὰ διαφεύγῃ τὴν ἀκοὴν λόγῳ τῆς χαμηλότητός του οὔτε φορτικὸς νὰ εἶναι λόγῳ τῆς μεγάλης ἐντάσεώς του. Νὰ ἐξωτερικεύῃ τὸν λόγον, ἀφοῦ πρῶτα ἐξετάσῃ μέσα του τί πρόκειται νὰ εἴπῃ. Νὰ εἶναι εὐπροσήγορος εἰς τὰς

τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν τὸν λόγον. Εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι, γλυκὺν ἐν ταῖς ὁμιλίαις· οὐ διὰ τῆς εὐτραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς παρακλήσεως τὸ προσηνὲς ἔχοντα· πανταχοῦ τὸ τραχύ, κἂν ἐπιτιμῆσαι δέῃ, ἀπωθούμενον. Προκαταβαλὼν γὰρ ἑαυτὸν διὰ ταπεινοφροσύνης, οὕτως εὐπαράδεκτος ἔσῃ τῷ δεομένῳ τῆς θεραπείας. Πολλάκις δὲ χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς ἐπιπλήξεως, ὃς τῷ Δαβὶδ ἁμαρτόντι οὐ παρ' ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης, ἀλλ' ὑποβολῇ προσώπου χρησάμενος αὐτὸν ἐκεῖνον ἐκάθισε τοῦ ἰδίου κριτὴν ἁμαρτήματος, ὥστε, αὐτὸν καθ' ἑαυτοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἔτι μέμφεσθαι τὸν ἐλέγξαντα.

6. Ἔπεται δὲ τῷ ταπεινῷ καὶ καταβεβλημένῳ φρονήματι ὄμμα στυγνὸν καὶ εἰς γῆν νενευκός, σχῆμα ἠμελημένον, κόμη αὐχμηρά, ἐσθὴς ῥυπῶσα· ὥστε ἃ ποιοῦσιν οἱ πενθοῦντες κατ' ἐπιτήδευσιν, ταῦτα ἐκ ταὐτομάτου ἡμῖν ἐπιφαίνεσθαι. Χιτὼν διὰ ζώνης προσεσταλμένος τῷ σώματι· τὸ μέντοι ζῶσμα μήτε ἄνω τῶν λαγόνων, γυναικῶδες γάρ, μήτε χαῦνον, ὥστε διαρρεῖν τὸν χιτῶνα, βλακικὸν γάρ· καὶ τὸ βάδισμα μήτε νωθρόν, ὡς ἔκλυσιν τῆς ψυχῆς κατηγορεῖν, μηδ' αὖ σφοδρὸν καὶ σεσοβημένον, ὡς ἐμπλήκτους αὐτῆς τὰς ὁρμὰς ὑποφαίνειν. Σκοπὸς ἐσθῆτος εἶς, κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὔταρκες. Μήτε δὲ ἐν χρώματι τὸ ἀνθηρὸν διωκέσθω, μήτε ἐν τῇ κατασκευῇ τὸ λεπτὸν καὶ μαλακόν. Τὸ γὰρ τὰς ἐν ἐσθῆτι εὐχροίας περισκοπεῖν ἴσον ἐστὶ γυναικείῳ καλλωπισμῷ, ὃν ἐκεῖναι ἐπιτηδεύσουσιν ἀλλοτρίῳ ἄνθει παρειὰς καὶ τρίχας ἑαυτῶν καταβάπτουσαι. Ἀλλὰ μὴν καὶ παχύτητος οὕτως ἔχειν ὁ χιτὼν ὀφείλει, ὡς μὴ δεῖσθαι κοινωνοῦ πρὸς τὸ θάλπειν τὸν ἐνδυόμενον. Ὑπόδημα τὸ εὐτελὲς μὲν κατὰ τὴν ἀξίαν, ἀνενδεῶς δὲ τὴν χρείαν ἀποπληροῦν. Καὶ ἁπαξαπλῶς ὡς ἐν τῷ ἐνδύματι ἡγεῖσθαι προσήκει τὸ χρειῶδες, οὕτω καὶ ἐν

συζητήσεις καὶ γλυκὺς εἰς τὰς ὁμιλίας, νὰ μὴ ἐπιδιώκῃ τὸ εὐχάριστον διὰ τῆς εὐτραπελίας, ἀλλὰ νὰ κρατῇ τὴν χάριν διὰ τῆς εὐγενοῦς παραινέσεως. Ν' ἀποβάλλῃς τὴν τραχύτητα πάντοτε, ἀκόμη καὶ ὅταν εἶναι ἀπαραίτητον νὰ ἐπιτιμήσῃς. Διότι, ἂν πρῶτα δείξῃς μετριοφροσύνην καὶ ταπεινοφροσύνην, θὰ γίνῃς εὐπρόσδεκτος ἀπὸ τὸν ἔχοντα ἀνάγκην θεραπείας. Πολλάκις δὲ εἶναι εἰς ἡμᾶς χρήσιμος καὶ ὁ τρόπος ἐπιπλήξεως τοῦ προφήτου, ὁ ὁποῖος εἰς τὸν Δαβίδ, ὅταν ἡμάρτησε, δὲν ἐξέφερεν ἰδικήν του ἀπόφασιν καταδίκης, ἀλλὰ χρησιμοποιήσας φανταστικὸν πρόσωπον, κατέστησε δικαστὴν τοῦ ἁμαρτήματός του αὐτὸν τὸν ἴδιον· ὥστε ἀφοῦ αὐτὸς ὁ ἴδιος προεξήγγειλε τὴν κρίσιν ἐναντίον του, νὰ μὴ ἠμπορῇ πλέον νὰ κατηγορήσῃ τὸν ἐλέγξαντα.

6. Εἰς τὸ ταπεινὸν καὶ καταβεβλημένον φρόνημα συνακολουθεῖ βλέμμα θλιμμένον καὶ χαμηλόν, ἐμφάνισις ἀτημέλητος, κόμη ἀπεριποίητος, ἐνδυμασία ἀκάθαρτος· ὥστε ὅσα οἱ πενθοῦντες πράττουν μὲ ἐπιτήδευσιν, αὐτὰ εἰς ἡμᾶς νὰ παρουσιάζωνται αὐτομάτως. Χιτὼν σφιγμένος μὲ ζώνην εἰς τὸ σῶμα· τὸ δὲ ζώσιμον νὰ μὴ εἶναι ἐπάνω εἰς τὰς λαγόνας, πρᾶγμα ποὺ εἶναι γυναικῶδες, οὔτε χαλαρὸν ὥστε ὁ χιτὼν νὰ κυματίζῃ, πρᾶγμα ποὺ εἶναι βλακικόν. Καὶ τὸ βάδισμα νὰ μὴ εἶναι οὔτε νωθρόν, σὰν νὰ μαρτυρῇ παράλυσιν τῆς ψυχῆς, οὔτε πάλιν ζωηρὸν καὶ πομπῶδες, ὥστε νὰ ὑποδηλώνῃ ἰσχυρὰς τὰς ὁρμάς της. Ἕνας εἶναι ὁ προορισμὸς τοῦ ἐνδύματος, τὸ ν' ἀποτελῇ κάλυμμα τῆς σαρκὸς ἐπαρκὲς διὰ τὸν χειμῶνα καὶ τὸ θέρος· νὰ μὴ ἐπιδιώκεται δὲ οὔτε ὡς πρὸς τὸ χρῶμα τὸ λαμπρὸν οὔτε ὡς πρὸς τὴν κατασκευὴν τὸ λεπτὸν καὶ τὸ μαλακόν· διότι τὸ νὰ ἐπιζητῇ κανεὶς ἀνοικτὰ χρώματα εἰς τὴν ἐνδυμασίαν ἐξισοῦται μὲ γυναικεῖον καλλωπισμόν, τὸν ὁποῖον ἐκεῖναι ἐφαρμόζουν, βάπτουσαι τὰ μάγουλα καὶ τὰ μαλλιά των μὲ τεχνητὰ χρώματα. Ἀλλὰ καὶ εἰς τὸ πάχος ὁ χιτὼν πρέπει νὰ εἶναι τόσος, ὥστε νὰ μὴ χρειάζεται βοηθητικὸν ἔνδυμα, διὰ νὰ θερμαίνῃ τὸν φέροντα αὐτόν. Τὸ δὲ ὑπόδημα νὰ εἶναι φθηνὸν μὲν κατὰ τὴν ἀξίαν, ἀλλὰ νὰ καλύπτῃ τὴν ἀνάγκην ἐπαρκῶς.

τροφῇ ἄρτος ἐκπληρώσει τὴν χρείαν καὶ ὕδωρ θεραπεύσει τὴν δίψαν τῷ ὑγιαίνοντι, καὶ ὅσα ἐκ σπερμάτων παροψήματα πρὸς τὰς ἀναγκαίας χρείας τὴν ἰσχὺν τῷ σώματι δύναται διασῶσαι. Ἐσθίειν δὲ μὴ λυσσώδη γαστριμαργίαν ἐμφαίνοντα, ἀλλὰ πανταχοῦ τὸ εὐσταθὲς καὶ πρᾷον καὶ περὶ τὰς ἡδονὰς ἐγκρατὲς διασώζοντα· μηδὲ τότε τὸν νοῦν ἀργὸν ἐν τῇ περὶ Θεοῦ ἐννοίᾳ ἔχοντα, ἀλλ' αὐτὴν τῶν βρωμάτων τὴν φύσιν καὶ τὴν τοῦ ὑποδεχομένου σώματος κατασκευὴν ἀφορμὴν ποιεῖσθαι δοξολογίας· πῶς ποικίλα εἴδη τροφῶν τῇ ἰδιότητι τῶν σωμάτων ἁρμόζοντα παρὰ τοῦ πάντα οἰκονομοῦντος ἐπινενόηται. Εὐχαὶ πρὸ τροφῆς ἀξίους γενέσθαι τῶν τοῦ Θεοῦ παροχῶν, ὧν τε νῦν δίδωσι καὶ ὧν πρὸς τὸ μέλλον ἐταμιεύσατο. Εὐχαὶ μετὰ τροφὴν εὐχαριστίαν τῶν δεδομένων ἔχουσαι καὶ αἴτησιν τῶν ἐπηγγελμένων. Ὥρα μία τροφῆς ἀποτεταγμένη, ἡ αὐτὴ κατὰ περίοδον ἁπαντῶσα, ὡς ἐκ τῶν εἴκοσι τεσσάρων ὡρῶν τοῦ ἡμερονυκτίου μίαν εἶναι ταύτην προσαναλισκομένην τῷ σώματι, τὰς δὲ λοιπὰς ἐν τῇ κατὰ νοῦν ἐργασίᾳ ἀπασχολεῖσθαι τὸν ἀσκητήν. Ὕπνοι κοῦφοι καὶ εὐπάλλακτοι, φυσικῶς ἀκολουθοῦντες τῷ συμμέτρῳ τῆς διαίτης, κατ' ἐπιτήδευσιν δὲ ταῖς περὶ τῶν μεγάλων μερίμναις διακοπτόμενοι. Τὸ γὰρ βαθεῖ κάρῳ κατακρατεῖσθαι λυομένων αὐτοῦ τῶν μελῶν, ὥστε σχολὴν ἀτόποις φαντασίαις παρέχειν, εἶναι ἐν καθημερινῷ θανάτῳ ποιεῖ τοὺς οὕτω καθεύδοντας. Ἀλλ' ὅπερ τοῖς ἄλλοις ὁ ὄρθρος ἐστί, τοῦτο τοῖς ἀσκηταῖς τῆς εὐσεβείας τὸ μεσονύκτιον, μάλιστα σχολὴν τῇ ψυχῇ τῆς νυκτερινῆς ἡσυχίας χαριζομένης, οὔτε ὀφθαλμῶν οὔτε ὤτων βλαβερὰς ἀκοὰς ἢ θέας ἐπὶ καρδίαν παραπεμπόντων, ἀλλὰ μόνου καθ' ἑαυτὸν τοῦ νοῦ τῷ Θεῷ συν-

Διὰ νὰ συντομεύωμεν δέ· ὅπως εἰς τὴν ἐνδυμασίαν ἁρμόζει νὰ ἐπιδιώκῃ κανεὶς τὸ χρειῶδες, οὕτω καὶ εἰς τὴν τροφὴν ὁ ἄρτος πρέπει νὰ ἱκανοποιῇ τὴν ἀνάγκην εἰς τὸν ὑγιῆ καὶ τὸ ὕδωρ νὰ θεραπεύῃ τὴν δίψαν, καθὼς ἐπίσης καὶ τὰ φυτικὰ προϊόντα ποὺ βοηθοῦν νὰ διατηρηθῇ ἡ ἰσχὺς τοῦ σώματος εἰς τὰς ἀπαραιτήτους ἀνάγκας. Νὰ τρώγῃ δὲ χωρὶς νὰ ἐπιδεικνύῃ λυσσώδη λαιμαργίαν, ἀλλὰ διατηρῶν παντοῦ τὴν σταθερότητα καὶ πραότητα καὶ ἐγκράτειαν ἔναντι τῶν ἡδονῶν. Οὔτε τότε δὲ νὰ ἔχῃ τὸν νοῦν ἀργὸν εἰς τὴν σκέψιν περὶ τοῦ Θεοῦ, ἀλλὰ νὰ λαμβάνῃ ἀφορμὴν εἰς δοξολογίαν ἀπὸ τὴν φύσιν τῶν τροφῶν καὶ τὴν κατασκευὴν τοῦ σώματος ποὺ τὰς ὑποδέχεται, πῶς δηλαδὴ ἔχουν ἐπινοηθῇ ὑπὸ τοῦ οἰκονομοῦντος τὰ πάντα ποικίλα εἴδη τροφῶν, κατάλληλα εἰς τὰς ἰδιορρυθμίας τῶν σωμάτων. Πρὶν ἀπὸ τὸ γεῦμα νὰ τελοῦνται προσευχαὶ ἁρμόζουσαι εἰς τὰς παροχὰς τοῦ Θεοῦ, καὶ ἐκείνας τὰς ὁποίας δίδει τώρα καὶ ἐκείνας τὰς ὁποίας ἔχει ἀποταμιεύσει διὰ τὸ μέλλον. Ἐπίσης δὲ καὶ εὐχαὶ μετὰ τὸ γεῦμα, περιλαμβάνουσαι εὐχαριστίαν διὰ τὰ δοθέντα καὶ παράκλησιν διὰ τὰ ὑποσχεθέντα. Νὰ ὁρισθῇ μία καθωρισμένη ὥρα διὰ τὸ γεῦμα, ἡ ἰδία καθημερινῶς· οὕτως ὥστε ἀπὸ τὰς εἰκοσιτέσσαρας ὥρας τοῦ ἡμερονυκτίου μόνον αὐτὴ ν' ἀφιερώνεται εἰς τὸ σῶμα, κατὰ τὰς ἄλλας δὲ ὁ ἀσκητὴς ν' ἀπασχολῆται εἰς τὰς ἐνεργείας τοῦ νοῦ.

Ὁ δὲ ὕπνος νὰ εἶναι ἐλαφρὸς καὶ εὔκολος, ἀκολουθῶν φυσικῶς τὸ μέτριον τῆς τροφῆς, νὰ διακόπτεται δὲ ἐπίτηδες δι' ἐμμελέτησιν τῶν σπουδαίων προβλημάτων. Διότι ἡ παράδοσις εἰς βαρὺν ὕπνον, ποὺ μὲ τὴν παράλυσιν τῶν μελῶν παρέχει εὐκαιρίαν εἰς ἀλόγους φαντασίας, φέρει τοὺς κατ' αὐτὸν τὸν τρόπον κοιμωμένους εἰς καθημερινὸν θάνατον. Ἀλλ' ὅ,τι εἶναι διὰ τοὺς ἄλλους ὁ ὄρθρος, τοῦτο εἶναι διὰ τοὺς ἀσκητὰς τῆς εὐσεβείας τὸ μεσονύκτιον, ὁπότε ἡ νυκτερινὴ ἡσυχία χαρίζει εἰς τὴν ψυχὴν ἄνεσιν, διότι τότε οὔτε οἱ ὀφθαλμοὶ οὔτε τὰ ὦτα μεταδίδουν εἰς τὴν καρδίαν βλαβερὰ ἀκροάματα καὶ θεάματα, ἀλλ' ὁ νοῦς μόνος καθ' ἑαυτὸν ἐπικοινωνεῖ μὲ τὸν Θεόν, καὶ διορ-

όντος καὶ διορθουμένου μὲν ἑαυτὸν τῇ μνήμῃ τῶν ἡμαρτημένων, ὅρους δὲ ἑαυτῷ τιθέντος πρὸς τὴν ἔκκλισιν τοῦ κακοῦ, καὶ τὴν παρὰ Θεοῦ συνεργίαν εἰς τὴν τελείωσιν τῶν σπουδαζομένων ἐπιζητοῦντος.

3

19. ΓΡΗΓΟΡΙΩ ΕΤΑΙΡΩ

Γράμμα ἦλθέ μοι πρῴην παρὰ σοῦ, ἀκριβῶς σόν, οὐ τοσοῦτον τῷ χαρακτῆρι τῆς χειρὸς ὅσον τῷ τῆς ἐπιστολῆς ἰδιώματι. Ὀλίγα γὰρ ἦν τὰ ῥήματα, πολλὴν διάνοιαν παριστῶντα. Πρὸς ἃ εὐθὺς μὲν οὐκ ἀπεκρινάμεθα, διότι αὐτοὶ μὲν ἀπεδημοῦμεν, ὁ δὲ γραμματηφόρος ἐνὶ τῶν ἐπιτηδείων ἡμῖν ἐπιδοὺς τὴν ἐπιστολὴν ἀπιὼν ᾤχετο. Ἀλλὰ νῦν διὰ Πέτρου προσφθεγγόμεθά σε, ὁμοῦ μὲν ἀποτινύντες τῆς προσηγορίας τὸ χρέος, ὁμοῦ δὲ ἀφορμὴν δευτέρων γραμμάτων παρέχοντες. Πάντως δὲ οὐδεὶς πόνος λακωνικῆς ἐπιστολῆς, ὁποῖαί εἰσιν αἱ παρὰ σοῦ ἑκάστοτε πρὸς ἡμᾶς ἀφικνούμεναι.

Ἐπιστολὴ 19. Ὁ Βασίλειος μὲ εὐγενῆ εἰρωνείαν ἐκφράζει παράπονα ὅτι ὁ Γρηγόριος περιορίζεται εἰς σύντομα γράμματα. Τὸ γράμμα, γραφὲν ἴσως περὶ τὸ 365, ἐστάλη διὰ χειρὸς τοῦ Πέτρου, ἀδελφοῦ τοῦ Βασιλείου,

θώνει μὲν ἑαυτὸν διὰ τῆς ἀναμνήσεως τῶν ἁμαρτημάτων, θέτει δὲ ὅρους εἰς ἑαυτὸν διὰ τὴν ἀπομάκρυνσιν τοῦ κακοῦ καὶ ζητεῖ τὴν παρὰ τοῦ Θεοῦ συνεργίαν πρὸς τελείωσιν τῶν ἐπιδιωκομένων.

3

ΕΠΙΣΤΟΛΗ 19
ΠΡΟΣ ΤΟΝ ΦΙΛΟΝ ΓΡΗΓΟΡΙΟΝ

Προχθὲς μοῦ ἦλθε γράμμα σου, τὸ ὁποῖον ἦτο κυριολεκτικῶς ἰδικόν σου, ὄχι τόσον κατὰ τὸν γραφικὸν χαρακτῆρα, ὅσον κατὰ τὸ ἐπιστολικὸν ὕφος. Διότι ἦσαν μὲν τὰ λόγια ὀλίγα, ἀλλ' ἀντεπροσώπευαν πολλὴν σκέψιν. Εἰς αὐτὸ τὸ γράμμα δὲν ἀπηντήσαμεν ἀμέσως, διότι ἤμεθα ἀπόντες, ὁ δὲ γραμματοκομιστής, ἐπιδώσας τὴν ἐπιστολὴν εἰς ἕνα ἀπὸ τοὺς φίλους μου, ἀπεμακρύνθη δρομαίως. Ἀλλὰ τώρα σὲ χαιρετίζομεν διὰ μέσου τοῦ Πέτρου, ἀφ' ἑνὸς μὲν ἐκπληρώνοντες τὸ χρέος τοῦ ἀσπασμοῦ, ἀφ' ἑτέρου δὲ δίδοντες ἀφορμὴν καὶ δευτέρου γράμματος. Ἀσφαλῶς αἱ λακωνικαὶ ἐπιστολαί, ὅπως εἶναι αὐταὶ ποὺ μᾶς ἔρχονται κάθε φορὰν ἀπὸ σέ, δὲν προκαλοῦν κανένα κόπον.

ἀργότερα ἐπισκόπου Σεβαστείας τῆς Ἀρμενίας. Ὁ Βασίλειος ἦτο τότε πρεσβύτερος εἰς τὴν Καισάρειαν.

4

71. ΓΡΗΓΟΡΙΩ ΝΑΖΙΑΝΖΗΝΩ

1. Ἐδεξάμην τὰ γράμματα τῆς εὐλαβείας σου διὰ τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Ἑλληνίου, καὶ ὅσα ἐνέφηνας ἡμῖν αὐτός, ταῦτα γυμνῶς διηγησαμένου ἀκούσαντες, ὅπως μὲν διετέθημεν οὐκ ἀμφιβάλλεις πάντως. Πλὴν ἀλλ' ἐπειδὴ ἐκρίναμεν πάσης λύπης ἀνωτέραν ποιεῖσθαι τὴν πρὸς σὲ ἀγάπην, ἐδεξάμεθα καὶ ταῦτα ὡς ἦν προσῆκον, καὶ εὐχόμεθα τῷ ἁγίῳ Θεῷ τὰς λειπομένας ἡμέρας ἢ ὥρας οὕτω διαφυλαχθῆναι ἐν τῇ περὶ σὲ διαθέσει ὡς καὶ ἐν τῷ κατόπιν χρόνῳ, ἐν ᾧ οὐδὲν ἡμῖν αὐτοῖς οὔτε μικρὸν οὔτε μεῖζον ἐλλελοιπόσι συνέγνωμεν. Εἰ δὲ ὁ δεῖνα ἄρτι παρακύψαι φιλοτιμούμενος πρὸς τὸν βίον τῶν χριστιανῶν, εἶτα οἰόμενος αὐτῷ σεμνότητά τινα φέρειν τὸ ἡμῖν συνανατρίβεσθαι, ἅ τε οὐκ ἤκουσε κατασκευάζει καὶ ἃ μὴ ἐνόησεν ἐξηγεῖται, θαυμαστὸν οὐδέν. Ἀλλ' ἐκεῖνο θαυμαστὸν καὶ παράδοξον, ὅτι τούτων ἀκροατὰς ἔχει τοὺς γνησιωτάτους μοι τῶν παρ' ὑμῖν ἀδελφῶν, καὶ οὐκ ἀκροατὰς μόνον, ἀλλὰ καὶ μαθητάς, ὡς ἔοικεν. Εἰ γὰρ καὶ ἄλλως ἦν παράδοξον τοιοῦτον μὲν εἶναι τὸν διδάσκοντα, τοιούτους δὲ τοὺς ἀνεχομένους, ἐμὲ δὲ τὸν διασυρόμενον, ἀλλ' οὖν τῶν καιρῶν ἡ καταστροφὴ ἐπαίδευσεν ἡμᾶς πρὸς μηδὲν δυσκολαίνειν. Πάλαι

Ἐπιστολὴ 71. Ἐγράφη τὸ 371, ἕνα ἔτος μετὰ τὴν εἰς ἀρχιεπίσκοπον Καισαρείας χειροτονίαν τοῦ Βασιλείου. Σύννεφα ἐμφανίζονται πλέον ἐπάνω ἀπὸ τὴν φιλίαν τοῦ Βασιλείου καὶ τοῦ Γρηγορίου. Ὁ τελευταῖος, ἀποφεύγων τὰς εὐθύνας τῆς ἐξουσίας, ἐβοήθησε μὲν τὸν Βασίλειον ἐμμέσως νὰ καταλάβῃ τὴν ἐπισκοπικὴν ἕδραν τῆς Καισαρείας, ἀλλ' ἠρνήθη πρόσκλησιν ν' ἀναλάβῃ ἀξίωμα ὡς βοηθός του ἐπίσκοπος. Φοβούμενος δὲ βιαίαν χειροτονίαν, δὲν ἤθελε κἂν νὰ τὸν ἐπισκεφθῇ. Τώρα τοῦ ἔγραψε δι' ὡρισμένας κατηγορίας, τὰς ὁποίας ἐχθροὶ τοῦ Βασιλείου διέδιδαν εἰς βάρος τῆς ἀκεραιότητος τῆς πίστεώς του καὶ τὰς ὁποίας ἦσαν ἕτοιμοι νὰ δεχθοῦν ὡρι-

4

ΕΠΙΣΤΟΛΗ 71
ΠΡΟΣ ΤΟΝ ΦΙΛΟΝ ΓΡΗΓΟΡΙΟΝ

Ἔλαβα τὸ γράμμα τῆς εὐλαβείας σου διὰ τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Ἑλληνίου, ὁ ὁποῖος μάλιστα μοῦ διηγήθη προφορικῶς μὲ εἰλικρίνειαν, ὅσα μᾶς διεμύνησες ἐσύ. Ἀσφαλῶς δὲν ἀμφιβάλλεις περὶ τῆς διαθέσεως, ἡ ὁποία μᾶς κατέλαβε μετὰ τὸ ἄκουσμα. Ἐπειδὴ ὅμως τὴν ἀγάπην πρὸς σὲ ἐθεωρήσαμεν ἀνωτέραν ἀπὸ κάθε λύπην, ἐδέχθημεν καὶ αὐτὰ κατὰ τὸν τρόπον ποὺ ἤρμοζε καὶ εὐχόμεθα εἰς τὸν ἅγιον Θεόν, τὰς ἡμέρας ἢ ὥρας ποὺ μᾶς ὑπολείπονται νὰ μείνωμεν μὲ τὴν ἰδίαν πρὸς σὲ διάθεσιν ποὺ εἴχαμεν καὶ εἰς τὸ παρελθόν, ὁπότε εἴχαμεν τὴν συνείδησιν ὅτι δὲν παρελείψαμεν καμμίαν μικρὰν ἢ μεγάλην ὑποχρέωσιν ἀπέναντί σου.

Ἐὰν δὲ ὁ δεῖνα [1], ὁ ὁποῖος ὑπερηφανεύεται ὅτι προσφάτως ἤρχισε νὰ παρατηρῇ τὸν βίον τῶν Χριστιανῶν καὶ νομίζει ὅτι τὸ ν' ἀσχολῆται μαζί μου θὰ τοῦ φέρῃ κάποιαν δόξαν, κατασκευάζῃ πράγματα ποὺ δὲν ἤκουσε καὶ ἑρμηνεύῃ πράγματα ποὺ δὲν ἐκατάλαβε, τοῦτο δὲν εἶναι ἀξιοθαύμαστον. Ἀντιθέτως θαυμαστὸν καὶ παράδοξον εἶναι ἐκεῖνο, ὅτι δηλαδὴ ἔχει ἀκροατὰς περὶ τούτων τοὺς γνωστοτάτους ἐκ τῶν πλησίον σας ἀδελφῶν μου καί, ὅπως φαίνεται, ὄχι μόνον ἀκροατάς, ἀλλὰ καὶ μαθητάς. Ἂν γενικώτερα εἶναι παράδοξον τὸ νὰ εἶναι διδάσκαλος τοιοῦτος ἄνθρωπος, τέτοιοι δὲ φίλοι οἱ ἀνεχόμενοι αὐτὸν καὶ θῦμα τοῦ διασυρμοῦ ἐγώ, πάντως οἱ ταραχώδεις

σμένοι γνωστοί του εἰς τὴν Ναζιανζόν. Ἐζητοῦσε δὲ ὁ Γρηγόριος συνάντησιν μαζί του, διὰ νὰ εὕρουν τρόπον ν' ἀναιρέσουν τὰς κατηγορίας. Ὁ Βασίλειος, πικραμένος ἀπὸ τὴν ἀρνητικὴν στάσιν τοῦ φίλου του, δηλώνει ὅτι δὲν ἔχει ν' ἀπαντήσῃ τίποτε εἰς τοὺς κατηγόρους, ἀλλ' ὅτι ἐπιθυμεῖ νὰ συναντηθῇ μαζί του, διὰ νὰ εὕρουν τρόπον ὀργανώσεως τῆς ὀρθοδόξου ἀντιστάσεως κατὰ τῆς ἀρειανῆς ἐπιθέσεως.

1. Δὲν ἀναφέρει ὀνομαστὶ τὸν κύριον συκοφάντην.

ιρ τὰ τούτων ἀτιμότερα συνήθη ἡμῖν γέγονε διὰ τὰς ἁμαρτίας ἡμῶν. Ἐγὼ τοίνυν, εἰ μὲν οὐδέπω τοῖς αὐτοῦ ἀδελφοῖς δέδωκα πεῖραν τῆς ἐμαυτοῦ περὶ τὸν Θεὸν προαιρέσεως, οὐδὲ νῦν ἔχω τι ἀποκρίνασθαι. Οὓς γὰρ οὐκ ἔπεισεν ὁ μακρὸς χρόνος, πῶς συμπείσει ἐπιστολὴ βραχεῖα; Εἰ δὲ ἐκεῖνα αὐτάρκη, λῆροι νομιζέσθωσαν τὰ παρὰ τῶν διαβαλλόντων. Πλήν γε ὅτι, ἐὰν ἐπιτρέψωμεν στόμασιν ἀχαλινώτοις καὶ καρδίαις ἀπαιδεύτοις λαλεῖν περὶ ὧν ἂν ἐθέλωσι καὶ ἕτοιμα ἔχωμεν πρὸς ὑποδοχὴν τὰ ὦτα, οὐ μόνον ἡμεῖς τὰ τῶν ἄλλων παραδεξόμεθα, ἀλλὰ καὶ ἕτεροι τὰ ἡμέτερα.

2. Τούτων δὲ αἴτιον ἐκεῖνο, ὃ πάλαι μὲν παρεκάλουν μὴ γίνεσθαι, νῦν δὲ ἀπαγορεύσας σιωπῶ, τὸ μὴ συντυγχάνειν ἡμᾶς ἀλλήλοις. Εἰ γὰρ κατά τε τὰς ἀρχαίας συνθήκας καὶ κατὰ τὴν ὀφειλομένην νῦν ταῖς Ἐκκλησίαις παρ' ἡμῶν ἐπιμέλειαν τὰ πολλὰ τοῦ ἐνιαυτοῦ μετ' ἀλλήλων διήγομεν, οὐκ ἂν ἐδώκαμεν πάροδον τοῖς διαβάλλουσι. Σὺ δέ, εἰ δοκεῖ, τούτους μὲν ἔα χαίρειν, αὐτὸς δὲ παρακλήθητι συγκαμεῖν ἡμῖν εἰς τὸν προκείμενον ἡμῖν ἀγῶνα καὶ συντυχεῖν μεθ' ἡμῶν τῷ καθ' ἡμῶν στρατευομένῳ. Ἢ γὰρ ὀφθεὶς μόνον ἐφέξεις αὐτοῦ τὴν ὁρμήν, ἢ τοὺς συγκροτουμένους ἐπὶ τῷ καταστρέψασθαι τὰ τῆς πατρίδος πράγματα διαλύσεις γνώριμον αὐτοῖς καταστήσας ὅτι αὐτός, τῇ τοῦ Θεοῦ χάριτι, τοῦ καθ' ἡμᾶς συλλόγου κατάρξεις, καὶ φράξεις πᾶν ἄδικον στόμα τῶν λαλούντων κατὰ τοῦ Θεοῦ ἀνομίαν. Κἂν ταῦτα γένηται, αὐτὰ τὰ πράγματα δείξει τίς μὲν ὁ κατακολουθῶν σοι ἐπὶ τὰ καλά, τίς δὲ ὁ μετοκλάζων καὶ προδιδοὺς δειλίᾳ τὸν λόγον τῆς ἀλη-

---

2. Ἐννοεῖ ὅτι, ἐφ' ὅσον παρ' ὅλα τὰ συγγράμματά του καὶ τοὺς ἀγῶνάς του, οἱ ἐχθροί του δὲν ἀντελήφθησαν τὸ ὀρθόδοξον τοῦ φρονήματός του, εἶναι περιττὸν ν' ἀσχοληθῇ πλέον μὲ αὐτούς.

καιροὶ ποὺ διερχόμεθα μᾶς ἐδίδαξαν νὰ ὑπομένωμεν τὰ πάντα. Ἀπὸ πολὺν καιρὸν ἐσυνηθίσαμεν εἰς διαβολὰς χειροτέρας ἀπὸ αὐτάς, διὰ τὰς ἁμαρτίας μας. Ἐγὼ λοιπόν, ἐφ' ὅσον ποτὲ ἕως τώρα δὲν ἔδωσα ἀπόδειξιν τῶν ἀντιλήψεών μου περὶ Θεοῦ, [2] οὔτε τώρα δὲν ἔχω ν' ἀποκριθῶ τίποτε. Διότι αὐτοὺς ποὺ δὲν ἔπεισεν ἡ μακροχρόνιος διαγωγή μου, πῶς θὰ πείσῃ μία σύντομος ἐπιστολή; Ἐὰν δὲ ἐκείνη, ἡ διαγωγή μου, εἶναι αὐτάρκης, τὰ λεγόμενα ἀπὸ τοὺς συκοφάντας πρέπει νὰ θεωρηθοῦν φλυαρίαι. Ἀλλὰ πάντως, ἐὰν ἐπιτρέπωμεν εἰς ἀχαλίνωτα στόματα καὶ ἀπαιδεύτους καρδίας νὰ λέγουν ὅ,τι θέλουν καὶ ἔχωμεν ἕτοιμα τὰ αὐτιά μας νὰ τὰ ἀκούουν, ὄχι μόνον ἡμεῖς θὰ παραδεχθῶμεν τὰ εἰς βάρος τῶν ἄλλων, ἀλλὰ καὶ οἱ ἄλλοι τὰ εἰς βάρος ἡμῶν [3].

2. Αἴτιον δὲ τῆς καταστάσεως αὐτῆς εἶναι ἐκεῖνο, διὰ τὸ ὁποῖον σ' ἐπαρακαλοῦσα πολὺν καιρὸν νὰ μὴ συμβῇ, τώρα δὲ ἀπογοητευθεὶς τὸ ἀποσιωπῶ· αἴτιον εἶναι τὸ ὅτι δὲν συναντώμεθα. Διότι, ἐὰν κατὰ τὴν παλαιὰν συμφωνίαν μας καὶ συνεπεῖς πρὸς τὴν εὐθύνην ποὺ ἀνελάβαμεν ἔναντι τῶν Ἐκκλησιῶν, ἐπερνούσαμεν τὸν περισσότερον χρόνον μαζί, δὲν θὰ ἐδίδαμεν ἔδαφος εἰς τοὺς διαβολεῖς. Σὺ δέ, ἐὰν τὸ ἐγκρίνῃς, αὐτοὺς μὲν ἄφησέ τους εἰς τὸ καλόν, κάμε μας δὲ τὴν χάριν νὰ συνεργασθῇς μαζί μας εἰς τὸν προκείμενον ἀγῶνα ἐναντίον τοῦ ἐχθροῦ, ὁ ὁποῖος ἐξεστράτευσεν ἐναντίον μας. Καὶ μόνον μὲ τὸ νὰ φανῇς ἐδῶ θὰ σταματήσῃς τὴν ὁρμήν του καὶ θὰ διαλύσῃς ὅσους συγκροτοῦν δυνάμεις, διὰ νὰ καταστρέψουν τὰ πράγματα τῆς πατρίδος διότι θὰ καταστήσῃς εἰς αὐτοὺς γνωστὸν ὅτι μὲ τὴν χάριν τοῦ Θεοῦ ἡγέτης τῶν ἰδικῶν μας δυνάμεων εἶσαι σὺ καὶ οὕτω θὰ φράξῃς κάθε ἄδικον στόμα τὸ ὁποῖον προφέρει ἀνομίαν κατὰ τοῦ Θεοῦ. Ἐὰν γίνῃ αὐτό, τὰ ἴδια τὰ πράγματα θὰ δείξουν ποῖος σὲ ἀκολουθεῖ εἰς τὰς καλὰς προσπαθείας καὶ ποῖος διστάζει καὶ προδίδει ἀπὸ δειλίαν τὸν λόγον τῆς ἀληθείας.

---

3. Θέλει νὰ εἴπῃ ὅτι θὰ ἦτο δυνατὸν νὰ ὑπάρξουν καὶ ἔναντι τοῦ Γρηγορίου κατηγορίαι, τὰς ὁποίας θὰ εὑρίσκοντο μερικοὶ διὰ νὰ πιστεύσουν.

θείας. Ἐὰν δὲ τὰ τῆς Ἐκκλησίας προδιδόμενα ᾖ, ὀλίγος μοι λόγος διὰ ῥημάτων πείθειν τοὺς τοσούτου με τιθεμένους ἄξιον ὅσου ἂν τιμήσωνται ἄνθρωποι οὔπω ἑαυτοὺς μετρεῖν δεδιδαγμένοι. Μετ' οὐ πολὺ γάρ, τῇ τοῦ Θεοῦ χάριτι, ἡ διὰ τῶν ἔργων ἀπόδειξις τὰς συκοφαντίας ἐλέγξει, διότι προσδοκῶμεν ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας τάχα μέν τι καὶ μεῖζον πείσεσθαι· εἰ δὲ μή, πάντως γε τῶν Ἐκκλησιῶν καὶ τῶν πατρίδων ἀπελαθήσεσθαι. Ἐὰν δὲ καὶ μηδὲν τῶν ἐλπιζομένων γένηται, οὐ μακράν ἐστι τὸ Χριστοῦ δικαστήριον. Ὥστε, τὴν συντυχίαν εἰ μὲν διὰ τὰς Ἐκκλησίας ἐπιζητεῖς, ἕτοιμος συνδραμεῖν ὅπουπερ ἂν προκαλῇ· εἰ δὲ ἵνα τὰς συκοφαντίας διαλύσω, οὐ σχολή μοι νῦν ἀποκρίνασθαι περὶ τούτων.

5

26. ΚΑΙΣΑΡΙΩ ΤΩ ΑΔΕΛΦΩ ΓΡΗΓΟΡΙΩ

Χάρις τῷ Θεῷ, τῷ τὰ ἑαυτοῦ θαυμάσια καὶ σοὶ ἐπιδεικνυμένῳ καὶ ἐκ τοσούτου θανάτου διασώσαντί σε τῇ τε πατρίδι καὶ ἡμῖν τοῖς προσήκουσι. Λείπεται δὴ οὖν μὴ ἀχαρίστους ἡμᾶς ὀφθῆναι μηδ' ἀναξίους τῆς τοσαύτης εὐεργεσίας, ἀλλὰ κατὰ δύναμιν

---

4. Ἐννοεῖ τὰς ἀπειλὰς ἐκ μέρους τοῦ αὐτοκράτορος Οὐάλεντος, αἱ ὁποῖαι εἶχαν ἤδη ἀρχίσει νὰ γνωστοποιοῦνται. Ὁ Βασίλειος ἀνέμενεν ἢ μαρτύριον ἢ ἐξορίαν. Ἀλλ' ὅπως εἶναι γνωστόν, ὁ αὐτοκράτωρ δὲν ἐτόλμησε νὰ πραγματοποιήσῃ τὰς ἀπειλάς του καὶ ἀντιθέτως τὸν ἐσεβάσθη καὶ φαινομενικῶς τὸν ἐνίσχυσεν, ἔστω καὶ ἂν πάντοτε ἐζητοῦσεν εὐκαιρίαν νὰ

Ἐὰν δὲ τὰ συμφέροντα τῆς Ἐκκλησίας προδίδωνται, ὀλίγον μ' ἐνδιαφέρει νὰ πείσω μὲ λόγους ἀνθρώπους οἱ ὁποῖοι μὲ ἐκτιμοῦν τόσον ὅσον ἠμποροῦν νὰ ἐκτιμήσουν ὅσοι δὲν ἔμαθαν ποτὲ νὰ μετροῦν τοὺς ἑαυτούς των. Ἄλλωστε μὲ τὴν χάριν τοῦ Θεοῦ ἐντὸς ὀλίγου τὰς συκοφαντίας θὰ διαλύσῃ ἡ ἀπόδειξις διὰ τῶν ἔργων, διότι περιμένομεν νὰ ὑποφέρωμεν ἴσως κάτι πολὺ σοβαρώτερον ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας· ἐὰν δὲ ὄχι αὐτό, πάντως τοὐλάχιστον ὁπωσδήποτε νὰ ἀπελαθῶμεν ἀπὸ τὴν Ἐκκλησίαν καὶ τὴν πατρίδα μας[4]. Ἐὰν ὅμως δὲν συμβῇ τίποτε ἀπὸ αὐτὰ τὰ ὁποῖα ἐλπίζομεν, τὸ δικαστήριον τοῦ Χριστοῦ δὲν εἶναι μακράν.

Ὥστε, ἐὰν μὲν τὴν συνάντησιν ζητῇς διὰ τὸ καλὸν τῶν Ἐκκλησιῶν, εἶμαι ἕτοιμος νὰ προσέλθω ὅπου μὲ καλέσῃς, ἐὰν δὲ τὴν ζητῇς διὰ νὰ διαλύσω τὰς συκοφαντίας, δὲν ἔχω καιρὸν ν' ἀπαντῶ εἰς αὐτάς.

5

ΕΠΙΣΤΟΛΗ 26
ΠΡΟΣ ΤΟΝ ΑΔΕΛΦΟΝ ΤΟΥ ΓΡΗΓΟΡΙΟΥ ΚΑΙΣΑΡΙΟΝ

Εὐχαριστίαι ὀφείλονται εἰς τὸν Θεόν, ὁ ὁποῖος ἔδειξε τὰ θαύματά του καὶ εἰς σέ, ἀφοῦ σὲ διέσωσεν ἀπὸ τοιοῦτον θάνατον, πρὸς χάριν καὶ τῆς πατρίδος καὶ ἡμῶν τῶν ἰδικῶν σου. Ἑπομένως ἐκεῖνο ποὺ ὑπολείπεται εἰς ἡμᾶς εἶναι νὰ μὴ φανῶμεν ἀχάριστοι καὶ ἀνάξιοι τῆς σπουδαιοτάτης αὐτῆς εὐεργεσίας. Ἀντιθέτως μάλιστα πρέπει κατὰ τὴν δύναμίν μας νὰ ἐξαγγέλ-

---

ὑποσκάψῃ τὸ ἔργον του, τὸ ὁποῖον ἔβλεπεν ὡς ἐμπόδιον εἰς τὴν ἐπιβολὴν τοῦ ἀρειανισμοῦ.

Ἐπιστολὴ 26. Ὁ ἀδελφὸς τοῦ Γρηγορίου Θεολόγου Καισάριος, ἰατρὸς εἰς τὴν βασιλικὴν αὐλήν, μόλις διέφυγε τὸν θάνατον κατὰ τὴν διάρκειαν σεισμοῦ, τὴν 10 Ὀκτωβρίου 368. Ὀλίγον μετὰ τὴν λῆψιν τῆς ἐπιστολῆς αὐτῆς ὁ Καισάριος ἀνεχώρησεν ἀπὸ τὰ ἐγκόσμια, ἀλλ' ἀπέθανεν ἐνῷ μετέβαινεν εἰς τὴν Καππαδοκίαν.

τὴν ἡμετέραν διαγγέλλειν τοῦ Θεοῦ τὰ παράδοξα καί, ἧς ἔργῳ πεπειράμεθα φιλανθρωπίας, ταύτην ἀνυμνεῖν, καὶ μὴ λόγῳ μόνον ἀποδιδόναι τὴν χάριν, ἀλλὰ καὶ ἔργῳ τοιοῦτον γενέσθαι οἷον καὶ νῦν εἶναι πειθόμεθα, τεκμαιρόμενοι τοῖς περὶ σὲ θαύμασι. Καὶ ἔτι μειζόνως τῷ Θεῷ δουλεύειν παρακαλοῦμεν, προσθήκαις ἀεὶ τὸν φόβον συναύξοντα καὶ εἰς τὸ τέλειον προκόπτοντα, ἵνα φρόνιμοι οἰκονόμοι τῆς ζωῆς ἡμῶν ἀποδειχθῶμεν, εἰς ἣν ἡμᾶς ἡ ἀγαθότης τοῦ Θεοῦ ἐταμιεύσατο. Εἰ γὰρ καὶ πᾶσιν ἡμῖν πρόσταγμά ἐστι παραστῆσαι ἑαυτοὺς τῷ Θεῷ ὡσεὶ ἐκ νεκρῶν ζῶντας, πῶς οὐχὶ μᾶλλον τοῖς ὑψωθεῖσιν ἐκ τῶν πυλῶν τοῦ θανάτου; Τοῦτο δ' ἂν μάλιστα, ὡς ἐμαυτὸν πείθω, κατορθωθείη, εἰ βουληθείημεν ἀεὶ τὴν αὐτὴν ἔχειν διάνοιαν, ἣν εἴχομεν ἐπὶ τοῦ καιροῦ τῶν κινδύνων. Πάντως γάρ που εἰσῄει ἡμᾶς τοῦ βίου τὸ μάταιον καὶ ὡς οὐδὲν πιστὸν τῶν ἀνθρωπίνων οὔτε πάγιον, οὕτω ῥᾳδίας ἐχόντων τὰς μεταπτώσεις. Καί πού τις μεταμέλεια μὲν ἔκ γε τῶν εἰκότων ἐνεγίνετο ἡμῖν ἐπὶ τοῖς φθάσασιν, ὑποσχέσεις δὲ περὶ τῶν ἐφεξῆς, εἰ περισωθείημεν, Θεῷ δουλεύειν καὶ ἑαυτῶν ἐπιμέλεσθαι κατὰ πᾶσαν ἀκρίβειαν. Εἰ γάρ τινα ἡμῖν ἔννοιαν ὁ τοῦ θανάτου κίνδυνος ἐπικείμενος ἐνεδίδου, οἶμαί σε ἢ ταῦτα ἢ ἐγγύτατα τούτων ἀναλογίζεσθαι τηνικαῦτα. Ὥστε ἀναγκαίου ὀφλήματος ἐκτίσει ὑπεύθυνοι καθεστήκαμεν. Ταῦτα, ὁμοῦ μὲν περιχαρὴς ὢν τῇ τοῦ Θεοῦ δωρεᾷ, ὁμοῦ δὲ καὶ φροντίδα ἔχων ὑπὲρ τῶν μελλόντων, ἀπεθάρσησα ὑπομνῆσαι τὴν τελειότητά σου. Σὸν δέ ἐστιν εὐμενῶς καὶ ἡμέρως προσέσθαι ἡμῶν τοὺς λόγους, ὡς καὶ ἐν ταῖς κατ' ὀφθαλμοὺς ὁμιλίαις σοι σύνηθες.

---

1. Ρωμ. 6, 13.

2. Τὴν περιγράφει εἰς τὴν ὑπ' ἀριθμὸν 30 ἐπιστολὴν πρὸς τὸν Εὐσέβιον Σαμοσάτων, γραφεῖσαν ὀλίγους μῆνας ἐνωρίτερον.

λωμεν τὰ παράδοξα τοῦ Θεοῦ καὶ νὰ ἀνυμνοῦμεν τὴν φιλανθρωπίαν τῆς ὁποίας ἐλάβαμεν ἔμπρακτον πεῖραν, καὶ νὰ μὴ ἐκφράζωμεν μόνον μὲ λόγους τὴν εὐγνωμοσύνην, ἀλλὰ ὁ καθένας ἀπὸ ἡμᾶς νὰ γίνεται τέτοιος, ὁποῖος εἶσαι τώρα ἐσύ, ὅπως πιστεύομεν κρίνοντες ἀπὸ τὰ θαύματα ποὺ ἐπραγματοποιήθησαν εἰς σέ.

Παρακαλοῦμεν δὲ νὰ ὑπηρετῇς τὸν Θεὸν ἀκόμη πιστότερα, αὐξάνων συνεχῶς τὸν σεβασμὸν πρὸς αὐτὸν καὶ προκόπτων εἰς τελειότητα, οὕτως ὥστε ν' ἀποδειχθῶμεν φρόνιμοι οἰκονόμοι τῆς ζωῆς ἡμῶν, τὴν ὁποίαν μᾶς ἐνεπιστεύθη ἡ ἀγαθότης τοῦ Θεοῦ. Διότι, ἂν εἰς ὅλους μας ἔχῃ δοθῇ τὸ πρόσταγμα νὰ παραστήσωμεν τοὺς ἑαυτούς μας ἐνώπιον τοῦ Θεοῦ σὰν ζωντανοὺς ἐκ νεκρῶν [1], πόσον μᾶλλον ἔχει δοθῇ εἰς αὐτούς, οἱ ὁποῖοι ἐσηκώθησαν ἀπὸ τὰς πύλας τοῦ θανάτου; Τοῦτο δὲ τὸ πρόσταγμα ἠμπορεῖ νὰ ἐκτελεσθῇ, ὅπως πιστεύω, ἐὰν ἀποφασίσωμεν νὰ ἔχωμεν πάντοτε τὸ ἴδιον φρόνημα ποὺ εἴχαμεν κατὰ τὸν καιρὸν τῶν κινδύνων.

Διότι βεβαίως κάποτε εἰς παρομοίαν περίστασιν [2] ἐπείσθημεν καὶ ἡμεῖς περὶ τῆς ματαιότητος τοῦ ἀνθρωπίνου βίου καὶ περὶ τοῦ ὅτι τίποτε ἀπὸ τὰ ἀνθρώπινα δὲν εἶναι σταθερὸν ἢ πάγιον, ἐφ' ὅσον αὐτὰ ὑπόκεινται τόσον εὔκολα εἰς μεταπτώσεις. Χωρὶς ἀμφιβολίαν μέσα μας προεκλήθη κάποια μετάνοια διὰ τὰ παρελθόντα καὶ ἐδόθη ὑπόσχεσις διὰ τὰ μέλλοντα, ὅτι, ἂν διασωθῶμεν, θὰ ὑπηρετῶμεν τὸν Θεὸν καὶ θὰ ἐπιμελούμεθα μὲ κάθε προσοχὴν τὸν ἑαυτόν μας. Ἂν πράγματι ὁ ἐπικείμενος κίνδυνος τοῦ θανάτου μᾶς ἔδωσεν ἀφορμὴν ἐμμελέτης, νομίζω ὅτι καὶ σὺ ἐκείνας τὰς στιγμὰς ἀνελογίζεσο ἢ αὐτὰ ἢ παρόμοια μὲ αὐτά. Ὥστε ἔχομεν καταστῇ ὑπεύθυνοι διὰ τὴν πληρωμὴν ἀναγκαστικοῦ χρέους. Αὐτὰ ἔλαβα τὸ θάρρος νὰ ὑπομνήσω εἰς τὴν τελειότητά σου, ἀφ' ἑνὸς μὲν ἀπὸ τὴν χαρὰν μου διὰ τὴν δωρεὰν τοῦ Θεοῦ, ἀφ' ἑτέρου δὲ ἀπὸ ὑποχρέωσιν διὰ τὰ μέλλοντα. Εἰς τὴν διάθεσίν σου ἀπόκειται τὸ νὰ δεχθῇς εὐμενῶς καὶ εὐγενῶς τοὺς λόγους μας, ὅπως συνήθιζες νὰ κάμῃς ὅταν ἐσυζητούσαμεν προφορικῶς πρόσωπον πρὸς πρόσωπον.

Β'

ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΤΟΝ ΑΔΕΛΦΟΝ ΓΡΗΓΟΡΙΟΝ ΚΑΙ ΤΟΝ ΘΕΙΟΝ ΓΡΗΓΟΡΙΟΝ

Ὁ ἀδελφὸς τοῦ Μεγάλου Βασιλείου Γρηγόριος (335 — 395), ἐπίσκοπος Νύσσης, εἶναι ὁ τρίτος μεγάλος θεολόγος τῆς Καππαδοκίας. Δὲν διεκρίθη μὲν ὡς ποιμενάρχης, ἀλλ' ἀνεδείχθη εἰς τὸν συστηματικώτερον καὶ βαθύτερον Ἕλληνα πατέρα τῆς Ἐκκλησίας.

Τρίτος υἱὸς τοῦ ρήτορος Βασιλείου καὶ τῆς Ἐμμελίας, μετὰ τὸν Βασίλειον καὶ τὸν Ναυκράτιον, ἐχειραγωγήθη ὑπὸ τοῦ Βασιλείου εἰς τὰ πρῶτά του μαθητικὰ βήματα· διὰ τοῦτο τὸν ἀποκαλεῖ πατέρα καὶ διδάσκαλον. Αἱ λαμπραὶ μετὰ ταῦτα σπουδαί του ἄφησαν τὴν σφραγῖδά των εἰς τὴν λογοτεχνικὴν μορφὴν τῶν ἔργων του καὶ εἰς τὴν μέθοδον ἀναπτύξεως τῶν θεολογικῶν ζητημάτων. Ἀφιερώθη ἐπὶ μερικὰ ἔτη εἰς τὸ ἐπάγγελμα τοῦ ρήτορος, ἐνυμφεύθη τὴν Θεοσεβίαν, γυναῖκα σεμνὴν καὶ ἐνάρετον, ἡ ὁποία ἀπέθανε τὸ 386, τέλος δὲ ὑποχωρῶν εἰς προτροπὰς οἰκείων καὶ φίλων ἠκολούθησε τὴν ἱερατικὴν σταδιοδρομίαν.

Ὁ Βασίλειος τὸν ἐχειροτόνησεν ἄκοντα ἐπίσκοπον Νύσσης, κωμοπόλεως κειμένης εἰς τὸν δρόμον ἀπὸ τὴν Καισάρειαν εἰς τὴν Ἄγκυραν. Ὁ Γρηγόριος ὅμως δὲν ἦτο γεννημένος διὰ τὸ ἀξίωμα τοῦ ἐπισκόπου, ἀλλὰ διὰ τὸ ἔργον τοῦ στοχαστοῦ. Ξένος πρὸς τὰ μικροζητήματα τοῦ καθημερινοῦ βίου, δὲν ἠνείχετο τὰς ἔριδας καὶ τὰς διενέξεις, καὶ ἐπροσπαθοῦσε πάντοτε νὰ τὰς κατασιγάσῃ, συχνάκις μάλιστα μὲ τρόπον ἀφελῆ, ἐνίοτε δὲ καὶ περίεργον, ἀλλὰ πάντως συγκινητικόν. Εἰς τὰ πρῶτά του ἀρχιερατικὰ βήματα ἀπετύγχανεν εἰς ὅλας τὰς προσπαθείας καὶ τὰς ἀποστολάς του, τὰς ἀποσκοπούσας εἰς τὴν διευθέτησιν σπουδαίων προβλημάτων. Δικαίως λοιπὸν ὁ Βασίλειος τὸν παρουσίασεν ὡς καθήμενον εἰς

ὕψη, ὡς μετέωρον, μὴ δυνάμενον ν' ἀντιληφθῇ τὰ συμβαίνοντα εἰς τὰ ἐπίγεια.

Ἀποτέλεσμα τῆς ἐλλείψεως πολιτικῆς εὐλυγισίας ἦτο ὅτι κατέστη στόχος τοῦ φιλαρειανοῦ ἐπάρχου Πόντου Δημοσθένους, ὁ ὁποῖος τὸν συνέλαβε μὲ σκοπὸν νὰ τὸν καθαιρέσῃ ὡς δῆθεν ἀντικανονικῶς ἐκλεγέντα· ἀλλ' αὐτὸς παραδόξως κατώρθωσε νὰ δραπετεύσῃ. Μετ' ὀλίγον δὲ σύνοδος ἀρειανῶν ἐπισκόπων, συνελθοῦσα εἰς τὴν ἕδραν του (376), τὸν κατεδίκασεν ἐρήμην εἰς ἔκπτωσιν. Ἀσθενὴς ἀπὸ πλευρίτιδα, παρέμεινεν ἐπὶ διετίαν κρυμμένος εἰς ἕνα χωρίον.

Ἐπιστρέψας τὸ 378, μετὰ τὸν θάνατον τοῦ Οὐάλεντος, εἰς τὴν Νύσσαν, ἔγινε δεκτὸς ἀπὸ τὸ ποίμνιόν του μ' ἐνθουσιασμόν, κατὰ τὸν μετέπειτα δὲ χρόνον ἐπέδειξεν ἀξιόλογον δραστηριότητα, ἡ ὁποία ἐξέπληξεν ὅλους ὅσοι τὸν ἐγνώριζαν. Εἶχεν ἤδη ἀποκτήσει καὶ αὐτὸς συνείδησιν ἡγέτου λόγῳ τοῦ κενοῦ τὸ ὁποῖον ἄφησεν ὁ θάνατος τοῦ ἀδελφοῦ του Βασιλείου. Ἦτο μία ἀπὸ τὰς κυρίας μορφὰς τῆς Β' οἰκουμενικῆς συνόδου καὶ αὐτὸς ἐξεφώνησε τὸν ἐπικήδειον εἰς τὸν πρῶτον πρόεδρον αὐτῆς Μελέτιον Ἀντιοχείας.

Ἀρίστη γνῶσις τῆς κοσμικῆς σοφίας, καὶ ἰδίως τῆς φιλοσοφίας, κατοχὴ ὁλοκλήρου τῆς Γραφῆς, μελέτη τῆς πρὸ αὐτοῦ θεολογικῆς σκέψεως καὶ ὀξεῖα δύναμις συλλήψεως τῶν ἐννοιῶν, πέραν δὲ ὅλων αὐτῶν βαθυτάτη πίστις, τοῦ ἐπέτρεψαν ν' ἀναδειχθῇ εἰς ἀνυπέρβλητον στοχαστὴν καὶ μέγαν συγγραφέα. Ἀπὸ τὸ πλῆθος τῶν συγγραμμάτων του ἐκτιμῶνται σήμερα τὰ ἠθικοπνευματικὰ δοκίμια, εἰς τὰ ὁποῖα περιγράφει τὸν τρόπον τῆς προσεγγίσεως εἰς τὸ μυστήριον τῆς θεότητος καὶ τὰς βαθμῖδας τῆς τελειώσεως. Ἀκόμη δὲ καὶ τὰ δογματικά του ἔργα εἶναι διαποτισμένα μὲ τὸ πνεῦμα αὐτό.

Καὶ ἐδῶ ἐπίσης ἠμπορεῖ νὰ σημειωθῇ ὅτι παραδόξως δὲν διεσώθησαν πολλαὶ ἐπιστολαὶ τοῦ Βασιλείου πρὸς τὸν Γρηγόριον Νύσσης.

Δημοσιεύονται ἐδῶ μία ἐπιστολὴ πρὸς τὸν Γρηγόριον τοῦτον καὶ δύο πρὸς τὸν θεῖον Γρηγόριον. Ὁ θεῖός των αὐτός, ἀδελφὸς τῆς μητρός των Ἐμμελίας, ἦτο μεγάλης ἡλικίας καὶ ὑπηρε-

τοῦσεν ὡς ἐπίσκοπος εἰς κάποιαν πόλιν τῆς Καππαδοκίας. Κατὰ κάποιον τρόπον λοιπὸν ὁ ἀνεψιός του Βασίλειος ἦτο προϊστάμενός του, ὡς ἐποπτεύων ἐπὶ τῶν ἐπισκοπῶν μητροπολίτης. Κατὰ τὸ μητροπολιτικὸν σύστημα ὅλαι αἱ ἐπισκοπαὶ μιᾶς μεγάλης διοικήσεως εἶχαν κάποιαν χαλαρὰν ἐξάρτησιν ἀπὸ τὴν μητρόπολιν, ἡ ὁποία ἐξάρτησις βέβαια δὲν ἀνεφέρετο εἰς τὰ ἐσωτερικὰ διοικητικά των θέματα, ἀλλ' εἰς τὰ γενικώτερα προβλήματα τῆς Ἐκκλησίας. Ὁ Βασίλειος, λόγῳ τῆς παρουσίας Ἀρειανῶν μέσα εἰς τὸ σῶμα τῆς ἱεραρχίας καὶ τοῦ μεγάλου κινδύνου ἐκ μέρους αὐτῶν, ἠθέλησε νὰ συντονίσῃ τὰς ἐνεργείας ὅλων τῶν ἐπισκόπων, οὕτως ὥστε οἱ μὲν ὀρθόδοξοι ἐπίσκοποι νὰ δροῦν ἡνωμένοι, καὶ ἄρα μὲ περισσοτέραν ἀποτελεσματικότητα, οἱ δὲ Ἀρειανοὶ ἢ νὰ ἐξουδετερωθοῦν ἢ νὰ ἐπιστρέψουν εἰς τὴν Ὀρθοδοξίαν. Ὅπως δὲ ἦτο ταχὺς καὶ ἐπίμονος εἰς τὰς κινήσεις του, δὲν ἠργοπόρησεν ἀλλ' ἐκινήθη ταχύτατα χωρὶς τὴν κατάλληλον προπαρασκευὴν τοῦ ἐδάφους, ἀφοῦ ἄλλωστε ἡ προσέγγισις τοῦ Οὐάλεντος πρὸς τὰ μέρη ἐκεῖνα καθιστοῦσεν ἐπείγουσαν τὴν συνένωσιν. Ἀλλ' οὕτως ἔδωσε μὲ τὰς ἐνεργείας του τὴν ἐντύπωσιν ὅτι ἀφαιρεῖ τὴν αὐτοτέλειαν τῶν ἄλλων ἐπισκόπων τῆς περιοχῆς καὶ πολλοὶ ἀπὸ αὐτοὺς δυσηρεστήθησαν.

Εἰς αὐτὴν τὴν δυσαρέσκειαν ἀναφέρονται αἱ τρεῖς ἐπιστολαὶ ποὺ ἀκολουθοῦν. Ὁ θεῖος Γρηγόριος εἶχε παύσει νὰ γράφῃ εἰς τὸν ἀνεψιὸν Βασίλειον καὶ νὰ ἐπισκέπτεται τὴν πρωτεύουσαν. Τότε ὁ ἀδελφὸς Γρηγόριος, πρεσβύτερος ἀκόμη τότε (371), προέβη εἰς ἐνέργειαν, ἡ ὁποία φαίνεται παιδαριώδης, ἀλλ' εἶχε θετικὰ ἀποτελέσματα. Μὲ συνεργασίαν φίλων του, ἀπὸ τοὺς ὡς ἄνω ἐπισκόπους προφανῶς, συνέταξεν ἐπιστολάς, προερχομένας δῆθεν ἀπὸ τὸν θεῖον καὶ ἀπευθυνομένας πρὸς τὸν Βασίλειον. Αὐτὸς βέβαια ἀνεκάλυψε τὴν πλαστότητα καὶ ἔγραψε τὴν ἐπιστολὴν 58 πρὸς τὸν ἀδελφόν του, γεμάτην ἐπιτιμήσεις διὰ τὴν φαινομενικὴν του ἀφέλειαν. Παρὰ ταῦτα ἐθεώρησεν ἀναγκαῖον νὰ λύσῃ τὴν σιωπήν του ἔναντι τοῦ θείου (ἐπιστολαὶ 59 καὶ 60), ὁπότε καὶ ὁ θεῖος τοῦ ἔγραψε, μὲ ἀποτέλεσμα ν' ἀποκατασταθοῦν αἱ ἀγαθαὶ σχέσεις εὐθὺς ἀμέσως.

Ἡ τελευταία ἐπιστολὴ τῆς ὁμάδος αὐτῆς (ὑπ' ἀριθμὸν 225) ἀπευθύνεται πρὸς τὸν νέον βικάριον Πόντου Δημοσθένην, ὁ ὁποῖος ἀνέλαβε τὸ ἔργον του μὲ τὴν πρόθεσιν καὶ τὸ πρόγραμμα νὰ ἐξαρθρώσῃ τὴν ὀρθόδοξον ἱεραρχίαν. Καὶ ἐπειδὴ ἐδίσταζε πάλιν νὰ ἐπιτεθῇ εὐθέως κατὰ τοῦ Βασιλείου, μία ἀπὸ τὰς ἀποφάσεις του ἦτο νὰ ἐπιτύχῃ τὴν ἔκπτωσιν τῶν στενῶν του συνεργατῶν, ὅπως ἦτο ὁ Γρηγόριος Νύσσης. Ἡ κατὰ τοῦ Γρηγορίου ἐπίθεσις ἀποδεικνύει ὅτι ὁ Δημοσθένης δὲν ἦτο τόσον μικρόνους ὅσον ἐθεωρεῖτο. Διότι ἐνῷ ὁ Γρηγόριος δὲν εἶχεν ἀξιόλογον διοικητικὴν δραστηριότητα, αὐτὸς διέβλεψε τὴν ἐπιρροὴν ποὺ ἐπρόκειτο ἐντὸς ὀλίγου νὰ ἔχῃ οὗτος μὲ τὸ ἀδαμάντινον ἦθός του καὶ τὴν συγγραφικήν του δεινότητα. Ἡ ἐπιστολὴ αὐτή, τὴν ὁποίαν ὑπέγραψαν, πλὴν τοῦ Βασιλείου, καὶ ἄλλοι ἐπίσκοποι τῆς Καππαδοκίας, εἶναι γραμμένη εἰς ἦπιον ὕφος, ἀλλὰ παρὰ ταῦτα δὲν εἶχεν ἀποτέλεσμα· ὁ Γρηγόριος, ὅπως εἴδαμεν, ἐκηρύχθη μετ' ὀλίγον ἔκπτωτος ἀπὸ σύνοδον, τὴν ὁποίαν συνεκάλεσεν ὁ Δημοσθένης.

6

58. ΓΡΗΓΟΡΙΩ ΑΔΕΛΦΩ

Πῶς ἄν σοι διὰ γραμμάτων μαχεσθείην; Πῶς δ' ἂν ἀξίως σου καθαψαίμην τῆς περὶ πάντα χρηστότητος; Τρίτον τίς, εἰπέ μοι, τοῖς αὐτοῖς περιπίπτει δικτύοις; Τρίτον τίς τῇ αὐτῇ περιπίπτει πάγῃ; Οὐδ' ἂν τῶν ἀλόγων τι τοῦτο ῥᾳδίως πάθοι. Μίαν μοι συμπλέξας ἐπιστολὴν ἐκόμισας, ὡς παρὰ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου καὶ κοινοῦ θείου ἡμῶν, ἀπατῶν με, οὐκ οἶδα ἀνθ' ὅτου. Ἐδεξάμην ὡς παρὰ ἐπισκόπου διὰ σοῦ κομισθεῖσαν. Τί γὰρ οὐκ ἔμελλον; Ἐπέδειξα πολλοῖς τῶν φίλων ὑπὸ περιχαρείας, ηὐχαρίστησα τῷ Θεῷ. Ἠλέγχθη τὸ πλάσμα, αὐτοῦ τοῦ ἐπισκόπου διὰ τῆς ἰδίας φωνῆς ἀρνησαμένου. Κατῃσχύνθημεν ἐπ' ἐκείνῃ· ηὐξάμεθα ἡμῖν διαστῆναι τὴν γῆν, ῥᾳδιουργίας καὶ ψεύδους καὶ ἀπάτης ὀνείδει περιβληθέντες. Δευτέραν πάλιν ἀπέδωκάν μοι, ὡς διὰ τοῦ οἰκέτου σου Ἀστερίου παρ' αὐτοῦ τοῦ ἐπισκόπου μοι ἀποσταλεῖσαν. Οὐδὲ ἐκείνη ἀληθής· αὐτὸς ὁ ἐπίσκοπος διεμαρτύρατο ἐπὶ τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Ἀνθίμου, ὡς αὐτὸς ἡμῖν ἀπήγγει-

---

Ἐπιστολὴ 58. Ἐγράφη τὸ 371. Τὸ χάσμα ποὺ ἐπῆλθε λόγῳ ὡρισμένων μέτρων τοῦ Βασιλείου μεταξὺ αὐτοῦ καὶ τῶν ἐπισκόπων Καππαδοκίας, οἱ ὁποῖοι ἐθεωροῦσαν τὰ μέτρα ὡς ἐκδήλωσιν αὐταρχισμοῦ, ἐσκέφθησαν νὰ εὕρουν τρόπον νὰ γεφυρώσουν μερικοὶ φίλοι, ἴσως ἐπίσκοποι. Τὸ χάσμα φυσικὰ ἠμποροῦσε νὰ γεφυρωθῇ, ἂν ἀποκαθίσταντο αἱ σχέσεις μεταξὺ Βασιλείου καὶ τοῦ θείου του Γρηγορίου. Εὑρόντες λοιπὸν πρόθυμον συνεργάτην τὸν ἀδελφὸν τοῦ Βασιλείου Γρηγόριον, ἔπλασαν τρεῖς ἐπιστολάς, προερχομένας δῆθεν ἀπὸ τὸν θεῖον, μὲ τὰς ὁποίας ὁ θεῖος παρουσιάζετο συμφιλιωτικὸς καὶ συγχρόνως ἐζητοῦσε νὰ συναντηθοῦν ὅλοι οἱ ἐπίσκοποι μα-

6

ΕΠΙΣΤΟΛΗ 58
ΠΡΟΣ ΤΟΝ ΑΔΕΛΦΟΝ ΓΡΗΓΟΡΙΟΝ

Πῶς νὰ σὲ ἀνταγωνισθῶ εἰς τὰ γράμματα; Πῶς νὰ τὰ καταφέρω ἰσάξια μὲ τὴν εἰς ὅλα ἀφέλειάν σου; Εἰπέ μου, ποῖος πέφτει τρεῖς φορὰς εἰς τὰ ἴδια δίκτυα; ποῖος πέφτει τρεῖς φορὰς εἰς τὴν ἰδίαν παγίδα; Οὔτε ἄλογον ζῶον δὲν θὰ τὸ ἐπάθαινε τόσον εὔκολα. Ἐπλαστογράφησες μίαν ἐπιστολὴν καὶ μοῦ τὴν ἔφερες σὰν νὰ προήρχετο ἀπὸ τὸν αἰδεσιμώτατον ἐπίσκοπον καὶ κοινὸν θεῖόν μας, καὶ οὕτω μ' ἐξηπάτησες διὰ λόγους ποὺ δὲν καταλαβαίνω. Ὅταν μοῦ τὴν ἔφερες, τὴν ἐδέχθην σὰν νὰ προήρχετο ἀπὸ τὸν ἐπίσκοπον. Διατί νὰ μὴ ἔκαμα ἔτσι; Τὴν ἐπέδειξα γεμᾶτος χαρὰν εἰς πολλοὺς φίλους, ηὐχαρίστησα τὸν Θεόν. Ἀλλ' ἐφανερώθη ἡ πλαστότης της ὅταν ὁ ἴδιος ὁ ἐπίσκοπος τὴν ἠρνήθη. Ἐνετράπην δι' αὐτήν, ηὐχήθην ν' ἀνοίξῃ ἡ γῆ νὰ μὲ καταπιῇ, ἀφοῦ ἐπληρώθημεν ἀπὸ τὸ ὄνειδος τῆς ραδιουργίας καὶ τοῦ ψεύδους καὶ τῆς ἀπάτης. Ἔπειτα μοῦ παρέδωσαν δευτέραν ἐπιστολήν, ἀποσταλεῖσαν τάχα εἰς ἐμὲ ἀπὸ τὸν ἴδιον τὸν ἐπίσκοπον διὰ τοῦ ὑπηρέτου σου Ἀστερίου. Ἀλλ' οὔτε ἐκείνην ἔστειλε πράγματι ὁ ἐπίσκοπος, ὅπως μᾶς διεβεβαίωσεν ὁ αἰδεσιμώτατος

ζί του. Αὐτὸς φυσικά, ἐνθουσιασθεὶς ἀρχικῶς, ἀνεκάλυψε βραδύτερον τὴν πλαστογραφίαν καὶ μὲ τὴν παροῦσαν ἐπιστολὴν ἐλέγχει τὴν ἁπλοϊκότητα τοῦ ἀδελφοῦ του Γρηγορίου. Ὁ ἀδελφός του δὲν ἦτο καθόλου ἀφελής, διότι τελικῶς ἐπέτυχεν ὅ,τι ἐπεδίωκε· τοῦτο δὲ ἦτο νὰ ἐξαναγκάσῃ τὸν Βασίλειον νὰ γράψῃ πρῶτος πρὸς τὸν θεῖον, ὅπως καὶ ἔπραξεν. Οὕτως ἐπραγματοποιήθη ἡ συμφιλίωσις.

λε. Τρίτην πάλιν Ἀδαμάντιος ἦκε πρὸς ἡμᾶς κομίζων. Πῶς ἔδει δέξασθαι τὰ διὰ σοῦ καὶ τῶν σῶν πεμπόμενα; Ἠὐξάμην ἂν λίθου καρδίαν ἔχειν, ὥστε μήτε τῶν παρελθόντων μεμνῆσθαι, μήτε τῶν παρόντων αἰσθάνεσθαι, ὑπὲρ τοῦ πᾶσαν πληγὴν εἰς γῆν κεκυφὼς φέρειν ὡς τὰ βοσκήματα. Ἀλλὰ τί πάθω πρὸς τὸν ἐμαυτοῦ λογισμόν, μετὰ μίαν καὶ δευτέραν πεῖραν οὐδὲν δυνάμενον ἀνεξετάστως προσίεσθαι; Ταῦτα τῆς σῆς ἁπλότητος καθαπτόμενος ἔγραψα, ἣν ἄλλως πρέπουσαν χριστιανοῖς, τῷ παρόντι καιρῷ ὁρῶ μὴ ἁρμόζουσαν, ἵνα πρὸς γοῦν τὸν ἐφεξῆς ἑαυτόν τε φυλάττῃς κἀμοῦ φείδῃ, ἐπειδή, δεῖ γάρ με πρὸς σὲ μετὰ παρρησίας εἰπεῖν, ἀναξιόπιστος εἶ τῶν τοιούτων διάκονος. Πλὴν οἵτινες ἂν ὦσιν οἱ ἐπεσταλκότες, ἀπεκρινάμεθα αὐτοῖς τὰ εἰκότα. Εἴτε οὖν αὖ πεῖράν μοι καθιείς, εἴτε τῷ ὄντι παρὰ τῶν ἐπισκόπων λαβὼν τὴν ἐπιστολὴν ἔπεμψας, ἔχεις τὰς ἀποκρίσεις. Σὲ δὲ ἄλλα εἰκὸς ἦν ἐν τῷ παρόντι φροντίζειν, ἀδελφόν τε ὄντα καὶ μήπω τῆς φύσεως ἐπιλελησμένον, μηδὲ ἐν ἐχθροῦ μοίρᾳ ἡμᾶς ὁρῶντα· ἐπειδὴ εἰς βίον παρήλθομεν συντρίβοντα μὲν ἡμῶν τὸ σῶμα, κακοῦντα δὲ καὶ τὴν ψυχὴν τῷ ὑπερβαίνειν τὴν ἡμετέραν δύναμιν. Ἀλλ' ὅμως, ἐπειδὴ οὕτως ἐκπεπολέμωσαι, τούτου ἕνεκεν παρεῖναι ἔδει νῦν καὶ κοινωνεῖν τῶν πραγμάτων. Ἀδελφοὶ γάρ, φησίν, ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν. Εἰ δὲ τῷ ὄντι συντυχίαν ἡμετέραν καταδέχονται οἱ αἰδεσιμώτατοι ἐπίσκοποι, καὶ τόπον ἡμῖν ὡρισμένον καὶ καιρὸν γνωρισάτωσαν καὶ δι' ἰδίων ἡμᾶς ἀνθρώπων μεταστειλάσθωσαν. Ὥσπερ γὰρ πρὸς τὸ ἀπαντῆσαι αὐτὸς πρὸς τὸν ἐμαυτοῦ θεῖον οὐκ ἀπαξιῶ, οὕτως, ἐὰν μὴ μετὰ τοῦ πρέποντος σχήματος ἡ κλῆσις γένηται, οὐκ ἀνέξομαι.

1. Παρ. 17, 17.

ἀδελφὸς Ἄνθιμος. Τρίτην πάλιν ἐπιστολὴν ἦλθε καὶ μᾶς ἔφερεν ὁ Ἀδαμάντιος.

Πῶς εἶναι ὅμως δυνατὸν τώρα νὰ δέχωμαι τὰ διὰ σοῦ καὶ τῶν ἰδικῶν σου στελλόμενα; Θὰ ἠὐχόμην νὰ ἔχω καρδίαν λίθου, ὥστε οὔτε τὰ περασμένα νὰ ἐνθυμοῦμαι οὔτε τὰ παρόντα νὰ αἰσθάνωμαι, διὰ νὰ ὑποφέρω κάθε κτύπημα μὲ κατεβασμένην τὴν κεφαλὴν σὰν τὰ πρόβατα.

Αὐτὰ τὰ ἔγραψα μὲ σκοπὸν νὰ σὲ ἐπιπλήξω διὰ τὴν ἁπλοϊκότητά σου, ἡ ὁποία ὅπως νομίζω δὲν ταιριάζει εἰς τοὺς Χριστιανοὺς ποτέ, ἰδίως δὲ εἰς τὴν ἐποχήν μας, οὕτως ὥστε εἰς τὸ μέλλον καὶ τὸν ἑαυτόν σου νὰ προφυλάττῃς καὶ ἐμὲ νὰ λυπῆσαι διότι — πρέπει νὰ σοῦ τὸ εἴπω φανερὰ — εἶσαι ἀνάξιος μεσολαβητὴς εἰς τοιαύτας ὑποθέσεις. Πάντως ὁποιοιδήποτε καὶ ἂν εἶναι οἱ συντάκται τῶν ἐπιστολῶν, τοὺς ἀπηντήσαμεν ὅσα ἥρμοζεν. Ἐπομένως, εἴτε σὺ ὁ ἴδιος προσεπάθησες νὰ μὲ ἐξαπατήσῃς εἴτε πράγματι ἐλάμβανες κάθε φορὰν τὴν ἐπιστολὴν ἀπὸ τοὺς ἐπισκόπους καὶ μοῦ τὴν ἔστελλες, ἔχεις λάβει τὰς ἀπαντήσεις. Σὺ δὲ πάντως ἄλλας φροντίδας ἔπρεπε νὰ λαμβάνῃς δι' ἐμὲ κατὰ τὴν παροῦσαν στιγμήν, ἀφοῦ εἶσαι ἀδελφὸς καὶ δὲν λησμονεῖς τοὺς φυσικοὺς δεσμοὺς καὶ δὲν μᾶς βλέπεις ὡς ἐχθρόν, ἐπειδὴ ἐφθάσαμεν εἰς τρόπον ζωῆς ὁ ὁποῖος συντρίβει τὸ σῶμά μας καὶ κακοποιεῖ τὴν ψυχήν, διότι ὑπερβαίνει τὴν δύναμίν μας. Ἀλλ' ὅμως, ἐπειδὴ μὲ αὐτὸν τὸν τρόπον εἰσῆλθες εἰς τὸν πόλεμον, διὰ τὸν λόγον αὐτὸν ἀκριβῶς ὀφείλεις νὰ μοῦ παρασταθῇς καὶ νὰ μετάσχῃς εἰς τὰς ἀσχολίας μου. Διότι, λέγει, «οἱ ἀδελφοὶ εἰς τὰς ἀνάγκας πρέπει νὰ εἶναι χρήσιμοι» [1].

Ἐὰν δὲ πράγματι οἱ αἰδεσιμώτατοι ἐπίσκοποι συμφωνοῦν διὰ μίαν συνάντησιν, ἂς μᾶς γνωρίσουν τόπον καὶ χρόνον, καὶ ἂς μᾶς προσκαλέσουν διὰ μέσου ἰδικῶν των ἀνθρώπων. Διότι, ὅπως δὲν ἀπαξιῶ νὰ συναντήσω τὸν θεῖόν μου, οὕτως ἐπίσης δὲν πρόκειται νὰ δεχθῶ, ἐὰν ἡ πρόσκλησις δὲν γίνῃ μὲ τὴν ἀπαιτουμένην διαδικασίαν.

7

59. ΓΡΗΓΟΡΙΩ ΘΕΙΩ

1. Ἐσιώπησα. Μὴ καὶ ἀεὶ σιωπήσομαι, καὶ ἀνέξομαι ἐπὶ πλεῖον τὴν δυσφορωτάτην ζημίαν τῆς σιωπῆς κυρῶσαι κατ' ἐμαυτοῦ, μήτε αὐτὸς ἐπιστέλλων μήτ' ἀκούων προσφθεγγομένου; Ἐγὼ μὲν γὰρ μέχρι τοῦ παρόντος ἐγκαρτερήσας τῷ σκυθρωπῷ τούτῳ δόγματι, ἡγοῦμαι πρέπειν κἀμοὶ τὰ τοῦ προφήτου λέγειν, ὅτι «Ἐκαρτέρησα ὡς ἡ τίκτουσα», ἀεὶ μὲν ἐπιθυμῶν ἢ συντυχίαν ἢ λόγον, ἀεὶ δὲ ἀποτυγχάνων διὰ τὰς ἁμαρτίας τὰς ἐμαυτοῦ. Οὐ γὰρ δὴ ἄλλην τινὰ αἰτίαν ἔχω τοῖς γινομένοις ἐπινοεῖν, πλήν γε δὴ τοῦ πεπεῖσθαι παλαιῶν ἁμαρτημάτων ἐκτίνειν δίκας ἐν τῷ χωρισμῷ τῆς ἀγάπης σου, εἰ δὴ καὶ ὀνομάζειν χωρισμὸν ὅσιον ἐπὶ σοῦ καὶ οὑτινοσοῦν τῶν τυχόντων, μὴ ὅτι γε ἡμῶν, οἷς ἐξ ἀρχῆς ἐν πατρὸς γέγονας χώρᾳ. Ἀλλ' ἡ ἁμαρτία μου νῦν, οἷα νεφέλη βαθεῖά τις ἐπισχοῦσα, πάντων ἐκείνων ἄγνοιαν ἐνεποίησεν. Ὅταν γὰρ ἀπίδω πλὴν τοῦ ἐμοὶ λύπην τὸ γινόμενον φέρειν μηδὲν ἕτερον ἐξ αὐτοῦ κατορθούμενον, πῶς οὐχὶ εἰκότως ταῖς ἐμαυτοῦ κακίαις ἀνατίθημι τὰ παρόντα; Ἀλλ' εἴτε ἁμαρτίαι τῶν συμβάντων αἰτίαι, τοῦτό μοι πέρας ἔστω τῶν δυσχερῶν· εἴτε τι τὸ οἰκονομούμενον ἦν, ἐξεπληρώθη πάντως τὸ σπουδαζόμενον. Οὐ γὰρ ὀλίγος ὁ τῆς

Ἐπιστολὴ 59. Ἐγράφη ὀλίγον μετὰ τὴν ἀνωτέρω, τὸ 371. Αἱ τρεῖς πλασταὶ ἐπιστολαὶ τοῦ Γρηγορίου ἀπέβλεπαν, ὅπως φαίνεται, εἰς τὸ νὰ ὑπενθυμίζουν εἰς τὸν Βασίλειον συνεχῶς τὸ χρέος του νὰ γράψῃ πρῶτος πρὸς τὸν θεῖον, ὡς μικρότερος. Μολονότι δὲ αὐτὸς ἀρχικῶς παρουσιάσθη θυμωμένος κατὰ τοῦ ἀδελφοῦ του, τελικῶς τὸ σχέδιον ἐπέτυχε καὶ αὐτὸς ἔγραψε πρῶτος.

7

ΕΠΙΣΤΟΛΗ 59
ΠΡΟΣ ΤΟΝ ΘΕΙΟΝ ΓΡΗΓΟΡΙΟΝ

1. Ἐσιώπησα. Μήπως θὰ τηρήσω σιωπὴν διαπαντὸς καὶ θὰ δεχθῶ νὰ ἐπιβάλω εἰς τὸν ἑαυτόν μου ἐπὶ μακρότατον χρόνον τὴν βαρυτάτην τιμωρίαν τῆς σιωπῆς, ὥστε οὔτε νὰ γράφω πρὸς σὲ οὔτε νὰ λαμβάνω γράμματα ἀπὸ σέ; Διότι, ἀφοῦ ἐπέμεινα ἕως σήμερα εἰς αὐτὴν τὴν σκυθρωπὴν ἀπόφασιν, νομίζω ὅτι μοῦ ταιριάζει νὰ λέγω τὸ τοῦ προφήτου, «ἐκαρτέρησα ὡς ἡ τίκτουσα» [1], πάντοτε μὲν ἐπιθυμῶν ἢ συνάντησιν ἢ συζήτησιν, πάντοτε δὲ διὰ τὰς ἁμαρτίας μου ἀποτυγχάνων. Διότι ἀσφαλῶς δὲν δύναμαι νὰ ἐπινοήσω καμμίαν ἄλλην αἰτίαν διὰ τὰ συμβαίνοντα, πλὴν τοῦ ὅτι, ὅπως εἶμαι πεπεισμένος, πληρώνω ποινὰς διὰ παλαιά μου ἁμαρτήματα μὲ τὸν χωρισμὸν ἀπὸ τὴν ἀγάπην σου· ἐὰν βέβαια ἐπιτρέπεται νὰ χρησιμοποιήσω τὴν λέξιν «χωρισμὸς» διὰ σέ, μὲ τὴν ἔννοιαν ὅτι εἶναι δυνατὸν σὺ νὰ χωρισθῇς καὶ ἀπὸ οἱονδήποτε ἄλλον, πολὺ περισσότερον δὲ ἀπὸ ἡμᾶς, διὰ τοὺς ὁποίους ἐξ ἀρχῆς κατεῖχες τὴν θέσιν πατρός.

Ἀλλὰ τώρα ἡ ἁμαρτία μου, ποὺ μὲ σκεπάζει σὰν βαθὺ σύννεφον, μ' ἔφερε ν' ἀγνοῶ ὅλα ἐκεῖνα. Διότι, ὅταν ὑπολογίσω ὅτι αὐτὸ ποὺ συμβαίνει μεταξύ μας τίποτε ἄλλο δὲν ἐπιτυγχάνει παρὰ νὰ μοῦ προκαλῇ λύπην, πῶς δὲν ἔχω δίκαιον ν' ἀποδίδω τὴν παροῦσαν κατάστασιν εἰς τὰς ἰδικάς μου κακίας; Ἀλλ' ἐὰν μὲν αἱ ἁμαρτίαι μου εἶναι αἰτίαι τῶν συμβάντων, εἴθε νὰ σταματήσουν ἕως ἐδῶ αἱ στενοχωρίαι μου· ἐὰν δὲ ἐπρόκειτο δι' εἶδος παιδαγωγήσεως, ὁ σκοπὸς ἀσφαλῶς ἐξεπληρώθη. Διότι δὲν εἶναι ὀλίγος ὁ χρόνος τῆς τιμωρίας μου [2].

---

1. Ἡσ. 42, 14. Καὶ αἱ πρῶται φράσεις τῆς ἐπιστολῆς αὐτῆς προέρχονται ἀπὸ τὸ ἴδιον χωρίον τοῦ Ἡσαΐου.

2. Εἰς τὴν πραγματικότητα δὲν φαίνεται νὰ διήρκεσε περισσότερον ἀπὸ μερικοὺς μῆνας αὐτὴ ἡ ψυχρότης.

ζημίας χρόνος. Διὸ μηκέτι στέγων πρῶτος ἔρρηξα φωνήν, παρακαλῶν ἡμῶν τε αὐτῶν ἀναμνησθῆναι καὶ σεαυτοῦ, ὃς πλέον ἢ κατὰ τὸ τῆς συγγενείας εἰκὸς παρὰ πάντα τὸν βίον τὴν κηδεμονίαν ἡμῶν ἐπεδείξω, καὶ τὴν πόλιν νῦν ἡμῶν ἕνεκεν ἀγαπᾶν, ἀλλὰ μὴ δι' ἡμᾶς ἀλλοτριοῦν σαυτὸν τῆς πόλεως.

2. Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τις κοινωνία Πνεύματος, εἴ τις σπλάγχνα καὶ οἰκτιρμοί, πλήρωσον ἡμῶν τὴν εὐχήν· ἐνταῦθα στῆσον τὰ κατηφῆ, ἀρχήν τινα δὸς τοῖς φαιδροτέροις πρὸς τὸ ἑξῆς, αὐτὸς τοῖς ἄλλοις καθηγούμενος ἐπὶ τὰ βέλτιστα, ἀλλ' οὐχὶ ἀκολουθῶν ἑτέρῳ ἐφ' ἃ μὴ δεῖ. Καὶ γὰρ οὐδὲ σώματος χαρακτὴρ ἴδιος οὕτω τινὸς ἐνομίσθη ὡς τῆς σῆς ψυχῆς τὸ εἰρηνικόν τε καὶ ἥμερον. Πρέποι δ' ἂν οὖν τῷ τοιούτῳ τοὺς ἄλλους ἕλκειν πρὸς ἑαυτὸν καὶ παρέχειν πᾶσι τοῖς ἐγγίζουσί σοι, ὥσπερ μύρου τινὸς εὐωδίας, τῆς τοῦ σοῦ τρόπου χρηστότητος ἀναπίμπλασθαι. Καὶ γὰρ εἴ τι καὶ ἀντιτεῖνόν ἐστι νῦν, ἀλλὰ μικρὸν ὕστερον καὶ αὐτὸ τὸ τῆς εἰρήνης ἀγαθὸν ἐπιγνώσεται. Ἕως δ' ἂν ἐκ τῆς διαστάσεως αἱ διαβολαὶ χώραν ἔχωσιν, ἀνάγκη ἀεὶ τὰς ὑποψίας ἐπὶ τὸ χεῖρον συναύξεσθαι. Ἔστι μὲν οὖν οὐδ' ἐκείνοις πρέπον ἀμελεῖν ἡμῶν, πάντων δὲ πλέον τῇ τιμιότητί σου. Καὶ γὰρ εἰ μὲν ἁμαρτάνομέν τι, βελτίους ἐσόμεθα νουθετούμενοι. Τοῦτο δὲ ἄνευ συντυχίας ἀμήχανον. Εἰ δὲ οὐδὲν ἀδικοῦμεν, ἀντὶ τίνος μισούμεθα; Ταῦτα μὲν οὖν τὰ τῆς ἰδίας ἐμαυτοῦ δικαιολογίας προΐσχομαι.

3. Ἃ δ' ἂν ὑπὲρ ἑαυτῶν αἱ Ἐκκλησίαι εἴποιεν, οὐκ εἰς καλὸν τῆς διαστάσεως ἡμῶν ἀπολαύουσαι, βέλτιον μὲν σιωπᾶν. Οὐ γὰρ ἵνα λυπήσω τοῖς λόγοις κέχρημαι, ἀλλ' ἵνα παύσω τὰ λυπηρά. Τὴν δὲ σὴν σύνεσιν πάντως οὐδὲν διαπέφευγεν, ἀλλὰ πολλῷ μείζω καὶ τελειότερα ὧν ἡμεῖς νοοῦμεν αὐτὸς ἂν ἐξεύροις τῇ

---

3. Φιλ. 2, 1.

4. Ἐννοεῖ τοὺς ἄλλους ἐπισκόπους τῆς ἐπαρχίας τῆς Καππαδοκίας, οἱ ὁποῖοι βεβαίως ἐν συνεχείᾳ συνεφιλιώθησαν μετ' αὐτοῦ.

5. Φαίνεται ἀπὸ αὐτὰ ὅτι ὁ Βασίλειος δὲν εἶχεν ἀντιληφθῆ καλὰ καλὰ πῶς προῆλθεν αὐτὴ ἡ ψυχρότης.

Διὰ τοῦτο, μὴ ἀνεχόμενος πλέον, ἐκραύγασα πρῶτος, παρακαλῶν νὰ σκεφθῇς καὶ ἡμᾶς καὶ τὸν ἑαυτόν σου, νὰ σκεφθῇς ὅτι εἰς ὅλον σου τὸν βίον ἀπεδείχθης κηδεμὼν ἡμῶν ἐπιμελέστερος ἀπὸ ὅσον ἀπαιτεῖ ἡ συγγένεια, καὶ ἐπίσης ν' ἀγαπᾷς τώρα πλέον τὴν πόλιν χάριν ἡμῶν καὶ νὰ μὴ ἀποξενώνεσαι τῆς πόλεως ἐξ αἰτίας ἡμῶν.

Εὔχομαι μὲ τὴν χάριν τοῦ Κυρίου νὰ διαφυλαχθῇς δι' ἐμὲ καὶ διὰ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ὑγιὴς καὶ χαρούμενος.

---

1. Ἡ ἑορτὴ τοῦ Ἁγίου Εὐψυχίου ἐτελεῖτο τὴν 7 Σεπτεμβρίου. Φαίνεται λοιπὸν ὅτι εἰς τὰ χειρόγραφα τῶν ἐπιστολῶν ἡ ἡμέρα ἀντεγράφη ἐσφαλμένως ὡς 5 (δηλαδὴ ε' ἀντὶ ζ').

2. Πρὸ τῆς ἑορτῆς τοῦ Ἁγίου Εὐψυχίου ἐτελεῖτο ἡ ἐπέτειος τῆς ἱδρύσεως τοῦ πτωχοτροφείου.

13

190. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

1. Ἀξίως τῆς σεαυτοῦ ἐμμελείας καὶ σπουδῆς, ἧς ἀεὶ ἐπαινέτης εἰμὶ ἐγώ, ἐμερίμνησας τὰ περὶ τῆς Ἐκκλησίας Ἰσαύρων. Ὅτι μὲν οὖν τῷ παντὶ λυσιτελέστερον ἦν εἰς πλείονας ἐπισκόπους καταδιαιρεθῆναι τὴν μέριμναν αὐτόθεν εἶναι δῆλον καὶ τῷ τυχόντι νομίζω. Οὐδὲ γὰρ τὴν σὴν σύνεσιν τοῦτο ἔλαβεν, ἀλλ' ὡς ἔχει καὶ ἐπεσημήνω καλῶς καὶ ἐγνώρισας ἡμῖν. Ἐπειδὴ δὲ οὐκ εὔκολον εὑρεῖν ἄνδρας ἀξίους, μήπου, ἕως βουλόμεθα τὸ ἐκ τοῦ πλήθους ἀξιόπιστον ἔχειν καὶ ὑπὸ πλειόνων ἀκριβέστερον ποιεῖν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ οἰκονομεῖσθαι, λάθωμεν διὰ τὸ τῶν καλουμένων ἀδόκιμον εἰς εὐτέλειαν τὸν λόγον καταβαλόντες ἀδιαφορίας μελέτην τοῖς λαοῖς ἐμποιεῖν. Οἶδας γὰρ καὶ αὐτὸς ὅτι ὁποῖοι δ' ἂν ὦσιν οἱ προεστῶτες, τοιαῦτα, ὡς ἐπὶ τὸ πολύ, καὶ τὰ ἤθη τῶν ἀρχομένων γίνεσθαι εἴωθεν. Ὥστε τάχα βέλτιον ἕνα τινὰ δόκιμον, εἴπερ καὶ τοῦτο ῥᾴδιον, προβαλέσθαι τῆς πόλεως προστάτην καὶ ἐπιτρέψαι τῷ ἐκείνου κινδύνῳ οἰκονομεῖσθαι τὰ καθ' ἕκαστον, μόνον ἐὰν ᾖ τις δοῦλος Θεοῦ, ἐργάτης ἀνεπαίσχυντος, μὴ σκοπῶν τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν· ὅς, ἐὰν εἰδῇ ἑαυτὸν μικρότερον πρὸς τὴν φροντίδα, προσλήψεται ἐργάτας εἰς τὸν θερισμόν. Ἐὰν οὖν εὕρωμεν τοιοῦτον, ὁμολογῶ

Ἐπιστολὴ 190. Ἐγράφη τὸ 374 κατόπιν ἐπιστολῆς τοῦ Ἀμφιλοχίου, εἰς τὴν ὁποίαν περιείχοντο καὶ μερικὰ ἐρωτήματα, τὰ ὁποῖα ὡς ἀφωσιωμένος μαθητὴς συνεχίζει διαπαντός.

13

ΕΠΙΣΤΟΛΗ 190
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

1. Διὰ τὰ προβλήματα τῆς Ἐκκλησίας τῆς Ἰσαυρίας[1] ἐφρόντισες μὲ τρόπον ἄξιον τῆς ἐπιμελείας καὶ τοῦ ζήλου σου, τοῦ ὁποίου ἐγὼ εἶμαι ἐπαινέτης. Ὅτι μὲν βεβαίως θὰ ἦτο ὠφελιμώτερον ἀπὸ κάθε ἄποψιν νὰ κατανεμηθῇ ἡ φροντὶς εἰς περισσοτέρους ἐπισκόπους, εἶναι, νομίζω, αὐτονόητον καὶ εἰς τὸν τυχόντα· καὶ βέβαια τοῦτο δὲν διέφυγε τὴν σύνεσίν σου, ἀλλ' ἀντιθέτως καλῶς ἐπεσήμανες τὴν κατάστασιν καὶ ἐπληροφόρησες ἡμᾶς περὶ αὐτῆς. Ἐπειδὴ ὅμως δὲν εἶναι εὔκολον νὰ εὕρωμεν ἄνδρας ἀξίους, πρέπει νὰ προσέξωμεν μήπως, ἐνῷ θέλομεν νὰ ἐπιτύχωμεν τὴν ἀσφάλειαν, τὴν ὁποίαν δίδει ὁ μεγάλος ἀριθμὸς καὶ νὰ ἐφοδιάσωμεν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ μὲ ἐπιμελεστέραν διακυβέρνησιν περισσοτέρων ποιμένων, φέρωμεν τὸν θεῖον λόγον ἀσυνειδήτως εἰς περιφρόνησιν ἐξ αἰτίας τῆς ἀδοκιμότητος τῶν καλουμένων εἰς τὸ ἀρχιερατικὸν ἀξίωμα καὶ συνηθίσωμεν οὕτω τὸν λαὸν εἰς ἀδιαφορίαν. Διότι καὶ σὺ γνωρίζεις ὅτι, ὁποῖοι εἶναι οἱ ἄρχοντες, τοιοῦτοι γίνονται κατὰ τὸ πλεῖστον εἰς τὸ ἦθος καὶ οἱ ἀρχόμενοι. Ὥστε λοιπὸν προτιμότερον εἶναι νὰ ἐκλέξωμεν ἕνα δοκιμασμένον ἄνδρα, ἐὰν εἶναι εὔκολον καὶ αὐτὸ βέβαια, ὡς προστάτην τῆς πόλεως καὶ νὰ ἀναθέσωμεν εἰς τὴν ἰδικήν του ὑπευθυνότητα νὰ ρυθμίσῃ τὰς λεπτομερείας· ἀρκεῖ νὰ εἶναι δοῦλος τοῦ Θεοῦ, ἀνεπαίσχυντος ἐργάτης[2], ἐπιδιώκων ὄχι τὰ ἰδικά του συμφέροντα, ἀλλὰ τῶν πολλῶν, διὰ νὰ σωθοῦν. Καὶ αὐτός, ἐὰν καταλάβῃ ὅτι αἱ δυνάμεις του εἶναι κατώτεραι τοῦ ἔργου, θὰ προσλάβῃ ἐργάτας διὰ τὸν θερισμόν. Ἐὰν λοιπὸν εὕρωμεν τοιοῦτον ἄνδρα, ὁμολογῶ

---

1. Ἡ Ἰσαυρία, ὀρεινὴ ἐπαρχία τῆς νοτίου Μικρασίας, κατὰ τὴν διοικητικὴν διαίρεσιν τῆς ἐποχῆς ἐκείνης ὑπήγετο ὑπὸ τὴν ἐκκλησιαστικὴν δικαιοδοσίαν τοῦ Ἰκονίου.

2. Βλέπε Β' Τιμ. 2, 15. Φιλ. 2, 4. Α' Θεσσ. 2, 16.

πολλῶν ἀντάξιον εἶναι τὸν ἕνα καὶ ταῖς Ἐκκλησίαις λυσιτελέστερον καὶ ἡμῖν δὲ ἀκινδυνότερον οὕτως οἰκονομῆσαι τῶν ψυχῶν τὴν ἐπιμέλειαν. Ἐὰν δὲ τοῦτο μὴ ῥᾴδιον ᾖ, σπουδὴ γενέσθω ἡμῖν πρότερον ταῖς μικροπολιτείαις ἤτοι μητροκωμίαις ταῖς ἐκ παλαιοῦ ἐπισκόπων θρόνον ἐχούσαις δοῦναι τοὺς προϊσταμένους, καὶ τότε τὸν τῆς πόλεως ἀναστήσωμεν, μήποτε ἐμπόδιον ἡμῖν πρὸς τὴν μετὰ ταῦτα οἰκονομίαν γένηται ὁ προβαλλόμενος, καὶ εὐθὺς ἀρξώμεθα ἡμεῖς τοῖς οἴκοι πολεμεῖν διὰ τὸ πλειόνων βούλεσθαι ἄρχειν, καὶ μὴ καταδέχηται τὰς χειροτονίας τῶν ἐπισκόπων. Ἐὰν δὲ τοῦτο βαρὺ ᾖ καὶ ὁ χρόνος μὴ ἐπιτρέπῃ, ἐκεῖνο σπουδασάτω ἡ σὴ σύνεσις, τοῦ ποιῆσαι περιγράψαι τῷ Ἰσαύρῳ τὸν ἴδιον κύκλον διὰ τὸ χειροτονῆσαι αὐτὸν προσοίκους τινάς. Τὸ δὲ ἑφεξῆς ἡμῖν ὑπάρξει τεταμευμένον, εἰς τὸ κατὰ τὸν προσήκοντα καιρὸν δοῦναι πᾶσι τοῖς λοιποῖς ἐπισκόπους οὓς ἂν κυριωτέρους εἶναι κρίνωμεν αὐτοὶ διὰ πολλῆς ἐξετάσεως δοκιμάσαντες.

2. Ἠρωτήσαμεν Γεώργιον, ὡς ἐκέλευσεν ἡ θεοσέβειά σου, καὶ εἶπεν ἃ καὶ ἡ σὴ εὐλάβεια ἀνήνεγκεν, ἐφ' οἷς ἀνάγκη ἡμᾶς τὴν ἡσυχίαν ἄγειν ἐπιρρίψαντας ἐπὶ Κύριον τὴν μέριμναν τοῦ οἴκου. Πιστεύω γὰρ τῷ Θεῷ ὅτι δώσει σύνεσιν πρὸς τὸ ἑτέρῳ τρόπῳ ἐξελέσθαι τῶν ἀναγκῶν καὶ ἡμῖν ἄλυπον τὴν ζωὴν προξενῆσαι. Ἐὰν οὖν οὐ δοκῇ τοῦτο, αὐτὸς καταξίωσον ὑπομνηστικόν μοι ἀποστεῖλαι περὶ τίνος χρὴ ἀξιώματος σπουδὴν εἰσενέγκασθαι, ἵνα ἀρξώμεθα αἰτεῖν ἕκαστον τῶν ἐν δυνάμει φίλων τὴν χάριν ταύτην εἴτε προῖκα εἴτε καὶ μετρίου τιμήματος, ὡς ἂν ἡμᾶς ὁ Κύριος εὐοδώσῃ. Ἐπέστειλα τῷ ἀδελφῷ Οὐαλερίῳ, ὡς προσέ-

---

3. Ὅπως φαίνεται ἀπὸ τὴν παροῦσαν ἐπιστολήν, ἡ ἐπέμβασις τῶν ἀρειανῶν ἡγεμόνων εἶχε προκαλέσει ἀποδιοργάνωσιν τῆς Ἐκκλησίας τῆς Ἰσαυρίας, ὥστε νὰ μὴ ὑπάρχῃ ἐκεῖ οὔτε ἕνας ἐπίσκοπος.

4. Δὲν εἶναι γνωστὸν περὶ ποίου Γεωργίου πρόκειται οὔτε εἶναι σαφὲς τὸ αἴτημα τοῦ Ἀμφιλοχίου. Προφανῶς ζητεῖται ἡ κατάληψις πολιτικοῦ ἀξιώματος, ὑπὸ τοῦ Γεωργίου ἢ ὑπ' ἄλλου, διὰ νὰ ἐξυπηρετηθοῦν τὰ συμφέροντα τῆς Ἐκκλησίας, ἡ ὁποία λόγῳ τῆς παρουσίας τοῦ ἀρειανοῦ Οὐάλεντος εἰς τὸν αὐτοκρατορικὸν θρόνον συναντοῦσε τότε πολλὰς δυσκολίας.

ὅτι ὁ ἕνας εἶναι ἄξιος διὰ πολλοὺς καὶ ὅτι εἶναι διὰ μὲν τὰς Ἐκκλησίας ὠφελιμώτερον, δι' ἡμᾶς δὲ ἀκινδυνότερον νὰ τακτοποιήσωμεν τὸ θέμα τῆς ἐπιμελείας τῶν ψυχῶν κατὰ τὸν τρόπον αὐτόν.

Ἐὰν δὲ τοῦτο δὲν εἶναι εὔκολον, ἂς φροντίσωμεν νὰ προσφέρωμεν προϊσταμένους εἰς τὰς πολίχνας καὶ τὰς κωμοπόλεις, αἱ ὁποῖαι εἶχαν ἀπὸ παλαιοτέραν ἐποχὴν ἐπισκοπικὰς ἕδρας [3], καὶ ἔπειτα νὰ ἀναβιβάσωμεν ἐπίσκοπον εἰς τὴν πόλιν. Καὶ τοῦτο διὰ νὰ μὴ τυχὸν ὁ ἐκλεγησόμενος μᾶς γίνῃ ἐμπόδιον εἰς τὸ ἑπόμενον στάδιον τῆς τακτοποιήσεως καὶ ἀρχίσωμεν εὐθὺς ἐμφύλιον πόλεμον, λόγῳ ἐνδεχομένης θελήσεώς του νὰ κυβερνᾷ περισσοτέρους καὶ νὰ μὴ δέχεται τὴν χειροτονίαν ἐπαρχιακῶν ἐπισκόπων. Ἐὰν δὲ τοῦτο εἶναι βαρὺ καὶ ὁ χρόνος δὲν τὸ ἐπιτρέπῃ, ἂς προσέξῃ ἡ σύνεσίς σου τὸ ἑξῆς· νὰ προβῇ εἰς σαφῆ περιγραφὴν τῶν ὁρίων τῆς δικαιοδοσίας τοῦ ἐπισκόπου τῶν Ἰσαύρων, μὲ τὸ νὰ χειροτονήσῃ μερικοὺς γείτονας. Θὰ εἶναι δὲ ἰδική μας φροντὶς τὸ νὰ δώσωμεν μελλοντικῶς κατὰ τὸν προσήκοντα καιρὸν ἐπισκόπους εἰς ὅλας τὰς ὑπολοίπους περιοχάς, ἀνθρώπους τοὺς ὁποίους θὰ κρίνωμεν ἡμεῖς καταλλήλους κατόπιν προσεκτικῆς ἐξετάσεως καὶ δοκιμασίας.

2. Ἠρωτήσαμεν, συμφώνως πρὸς τὴν παραγγελίαν τῆς θεοσεβείας σου, τὸν Γεώργιον καὶ αὐτὸς εἶπεν ὅσα ἀνέφερε καὶ ἡ ἰδική σου εὐλάβεια. Ἐπὶ τοῦ θέματος τούτου εἶναι ἀνάγκη νὰ τηρήσωμεν σιωπὴν ἀναθέτοντες εἰς τὸν Κύριον τὴν μέριμναν τοῦ οἴκου. Διότι ἔχω τὴν πεποίθησιν ὅτι ὁ ἅγιος Θεὸς θὰ δώσῃ εἰς ἡμᾶς δύναμιν νὰ ἐξέλθωμεν κατ' ἄλλον τρόπον ἀπὸ τὰς δυσκολίας καὶ νὰ μᾶς καταστήσῃ τὴν ζωὴν ἄλυπον. Ἂν ὅμως αὐτὸ δὲν σὲ ἱκανοποιῇ, κάμε μου τὴν χάριν νὰ μοῦ στείλῃς ἕνα ὑπομνηστικόν, σχετικῶς μὲ ποίου ἀξιώματος τὴν ἀπόκτησιν νὰ φροντίσωμεν, ὥστε ν' ἀρχίσωμεν νὰ ζητοῦμεν ἀπὸ κάθε φίλον μας εἰς τὴν κυβέρνησιν τὴν χάριν αὐτήν, εἴτε δωρεὰν εἴτε ἔναντι μικροῦ τιμήματος, καθ' οἱονδήποτε τρόπον εὐοδώσῃ ὁ Κύριος τὰ πράγματα πρὸς χάριν μας [4].

Ἔγραψα εἰς τὸν ἀδελφὸν τοῦ Βαλερίου σύμφωνα μὲ τὴν

ταξας. Τὰ Νύσσης πράγματα ὅμοιά ἐστι τοῖς παρὰ τῆς σῆς θεοσεβείας καταλειφθεῖσι καὶ προκόπτει ἐπὶ τὸ βέλτιον τῇ συνεργίᾳ τῶν σῶν προσευχῶν. Οἱ μέντοι τότε ἀπορραγέντες ἡμῶν, οἱ μὲν ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον, οἱ δὲ μένουσι τὴν ἐκεῖθεν ἀναμένοντες φήμην. Δυνατὸς δὲ ὁ Κύριος καὶ τούτων ματαιῶσαι τὰς ἐλπίδας κἀκείνοις ἄπρακτον τὴν ἐπάνοδον ποιῆσαι.

3. Τὸ μάννα ὁ Φίλων ἑρμηνεύων ἔφη, ὥσπερ ἐκ παραδόσεώς τινος ἰουδαϊκῆς δεδιδαγμένος, τοιαύτην αὐτοῦ εἶναι τὴν ποιότητα, ὥστε κατὰ τὴν φαντασίαν τοῦ ἐσθίοντος μετακίρνασθαι, καὶ εἶναι μὲν καθ' ἑαυτὸ οἱονεὶ κέγχρον ἐψημένον ἐν μέλιτι, παρέχειν δὲ νῦν μὲν ἄρτου, νῦν δὲ κρέως καὶ κρέως τοιοῦδε ἢ πετεινοῦ ἢ χερσαίου, νῦν δὲ λαχάνου καὶ λαχάνου τοῦ κατὰ τὴν ἐπιθυμίαν ἑκάστου, καὶ ἰχθύος, ὡς τὸ ἰδίωμα τῆς καθ' ἕκαστον γένος ποιότητος ἀκριβῶς ἐν τῇ γεύσει τοῦ ἐσθίοντος διασώζεσθαι. Ἅρματα ἀναβάτας τριστάτας ἔχοντα οἶδεν ἡ Γραφή, διὰ τὸ τῶν λοιπῶν ἁρμάτων δύο εἶναι τοὺς ἐπιβάτας, τόν τε ἡνίοχον καὶ τὸν ὁπλίτην· τὰ δὲ τοῦ Φαραὼ δύο μὲν εἶχε τοὺς πολεμοῦντας, ἕνα δὲ τὸν τὰς ἡνίας τῶν ἵππων ἔχοντα. Σύμπιος ἡμῖν ἐπέστειλε θεραπευτικὴν ἐπιστολὴν καὶ κοινωνικήν, ᾧ ἡμεῖς ἀντιγράψαντες ἐπέμψαμεν τῇ εὐλαβείᾳ σου τὰ γράμματα, ἵνα ἄγαν ἐγκρίνας κελεύσῃς αὐτῷ ἀποσταλῆναι δηλονότι μετὰ προσθήκης καὶ σῶν γραμμάτων. Ἐρρωμένος, εὔθυμος ἐν Κυρίῳ ὑπερευχόμενός μου χαρισθείης μοι καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τῇ τοῦ Ἁγίου φιλανθρωπίᾳ.

---

5. Εἰς τὴν Νύσσαν ὑπηρετοῦσεν ὡς ἐπίσκοπος ὁ ἀδελφὸς τοῦ Βασιλείου Γρηγόριος, ὁ ὁποῖος εὗρισκε τρομερὰν ἀντίδρασιν ἐκ μέρους μικρᾶς μερίδος ἀρειανιζόντων καὶ τελικῶς ἐκηρύχθη ἔκπτωτος (376).

6. Ὁ Σύμπιος ἦτο μητροπολίτης Σελευκείας. Εἰς αὐτὸν πιθανῶς ἀπευθύνεται ἡ ἐπιστολὴ 191 ποὺ φέρει κατὰ λάθος τὸ ὄνομα τοῦ Ἀμφιλοχίου.

παραγγελίαν σου. Ἡ κατάστασις εἰς τὴν Νύσσαν εἶναι ὅπως τὴν ἄφησεν ἡ θεοσέβειά σου καὶ μὲ τὴν βοήθειαν τῶν προσευχῶν σου προοδεύει πρὸς τὸ καλύτερον [5]. Ἐξ ἐκείνων πάντως οἱ ὁποῖοι ἀπεχωρίσθησαν ἀπὸ ἡμᾶς ἄλλοι μὲν ἀνεχώρησαν εἰς τὴν αὐλήν, ἄλλοι δὲ παρέμειναν ἀναμένοντες νέα ἀπὸ ἐκεῖ. Ὁ δὲ Κύριος εἶναι δυνατός, ὥστε καὶ τούτων τὰς ἐλπίδας νὰ ματαιώσῃ καὶ ἐκείνων τὴν ἐπάνοδον νὰ καταστήσῃ ἄπρακτον.

3. Ὁ Φίλων, ἑρμηνεύων τὸ μάννα ὡσὰν νὰ ἀντλῇ ἀπὸ κάποιαν ἰουδαϊκὴν παράδοσιν, εἶπεν ὅτι ἡ ποιότης του ἦτο τοιαύτη, ὥστε νὰ μεταβάλλεται κατὰ τὴν φαντασίαν αὐτοῦ ποὺ τὸ ἔτρωγεν· ὅτι καθ' ἑαυτὸ μὲν ἦτο σὰν κεχρὶ ψημένον μὲ μέλι, ἀλλ' ἔδιδε τὴν γεῦσιν ἄλλοτε ἄρτου, ἄλλοτε κρέατος, μάλιστα κρέατος εἴτε πετεινοῦ εἴτε θηρίου, ἄλλοτε λαχάνου, μάλιστα εἴδους λαχάνου κατὰ τὴν ἐπιθυμίαν τοῦ καθενός, καὶ ἄλλοτε ἰχθύος, κατὰ τοιοῦτον τρόπον ὥστε ἡ ἰδιαιτέρα ποιότης τοῦ κάθε γένους νὰ διατηρῆται ἀκριβῶς εἰς τὴν γεῦσιν τοῦ τρώγοντος.

Ἡ Γραφὴ γνωρίζει ἅρματα μὲ τρεῖς ἀναβάτας· ἐνῷ οἱ ἀναβᾶται τῶν ἁρμάτων τῶν λοιπῶν χωρῶν ἦσαν δύο, ὁ ἡνίοχος καὶ ὁ ὁπλίτης, τὰ τοῦ Φαραὼ εἶχαν δύο μὲν πολεμιστάς, ἕνα δὲ κρατοῦντα τὰ ἡνία τῶν ἵππων.

Ὁ Σύμπιος μᾶς ἔγραψεν ἐπιστολὴν ἐκφράζουσαν αἰσθήματα σεβασμοῦ καὶ κοινωνίας, τὴν δὲ ἐπιστολὴν ποὺ ἐγράψαμεν εἰς ἀπάντησιν ἐστείλαμεν εἰς τὴν εὐλάβειάν σου, ὥστε, ἐὰν τὴν ἐγκρίνῃς καθ' ὅλα, νὰ διατάξῃς νὰ σταλῇ εἰς αὐτόν, φυσικὰ συνοδευομένη μὲ ἰδικόν σου γράμμα [6].

Εἴθε κατὰ τὴν φιλανθρωπίαν τοῦ ἁγίου Θεοῦ νὰ φυλαχθῇς δι' ἐμὲ καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ὑγιής, εὔθυμος ἐν Κυρίῳ καὶ εὐχέτης ὑπὲρ ἐμοῦ.

14

200. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Ἡμᾶς ἀρρωστίαι ἐξ ἀρρωστιῶν διαδέχονται καὶ ἀσχολίαι ἐκκλησιαστικῶν τε ὁμοῦ πραγμάτων καὶ τῶν ταῖς Ἐκκλησίαις ἐπηρεαζόντων συνέσχον παρὰ πάντα τὸν χειμῶνα καὶ τὸν μέχρι ταύτης τῆς ἐπιστολῆς χρόνον. Διὸ οὔτε ἀποστεῖλαί τινα οὔτε ἐπισκέψασθαι τὴν εὐλάβειάν σου δυνατὸν ἡμῖν ἐγένετο. Εἰκάζομεν δὲ καὶ τὰ σὰ τοιαῦτα ἕτερα εἶναι, οὐ κατὰ τὴν ἀρρωστίαν λέγω, μὴ γένοιτο, παράσχοι γὰρ ὁ Κύριος ὑγείαν τῷ σώματί σου διαρκῆ πρὸς ὑπηρεσίαν τῶν ἐντολῶν αὐτοῦ, ἀλλ' ὅτι ἡ μέριμνα τῶν Ἐκκλησιῶν καὶ σοὶ τὸν αὐτὸν ἐμβάλλει περισπασμόν. Καὶ νῦν ἔμελλόν τινα ἀποστέλλειν αὐτοῦ τούτου ἕνεκεν, ὥστε γνωρίσαι ἡμῖν τὰ περὶ τῆς διαθέσεώς σου. Ἐπεὶ δὲ ὁ ποθεινότατος υἱὸς Μελέτιος παραπέμπων τοὺς νεολέκτους ὑπέμνησεν ἡμᾶς ὅτι εἴη σε δι' αὐτοῦ προσειπεῖν, ἐδεξάμεθα τὴν ὑπόθεσιν τῶν γραμμάτων ἄσμενοι καὶ τῷ διακόνῳ τῶν ἐπιστολῶν ἐπεδράμομεν, ἀνδρὶ ἐξαρκοῦντι καὶ ἀντ' ἐπιστολῆς εἶναι διά τε τὸ τοῦ τρόπου φιλάληθες καὶ διὰ τὸ μηδὲν ἀγνοεῖν τῶν καθ' ἡμᾶς. Δι' οὗ παρακαλοῦμεν τὴν εὐλάβειάν σου προηγουμένως εὔχεσθαι ὑπὲρ ἡμῶν, ἵνα δῷ ὁ Κύριος ἐμοὶ μὲν ἀπαλλαγὴν τοῦ φορτικοῦ τούτου σώματος, ταῖς δὲ Ἐκκλησίαις αὐτοῦ τὴν εἰρήνην, σοὶ δὲ ἡσυχίαν καὶ ἄδειαν τοῦ, ἐπειδὰν διαθῇς τὰ κατὰ τὴν Λυκαονίαν ἀποστολικῶς ὡς ἐνήρξω, ἐπισκέπτεσθαι καὶ τὰ ὧδε, κἂν τε ἐνδημῶμεν τῇ σαρκὶ κἂν ἀποδημῆσαι ἤδη πρὸς τὸν Κύριον ἐπιταχθῶμεν, ἵνα αὐτὸς

Ἐπιστολὴ 200. Ἐγράφη τὴν ἄνοιξιν τοῦ 375.

14

ΕΠΙΣΤΟΛΗ 200
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Αἱ ἀρρώστειαί μας διαδέχονται ἡ μία τὴν ἄλλην καὶ αἱ ἀσχολίαι μας μὲ τὰ ἐκκλησιαστικὰ πράγματα καὶ μὲ τοὺς ἀνθρώπους ποὺ ἐνοχλοῦν τὰς Ἐκκλησίας μᾶς συνεκράτησαν ὅλον τὸν χειμῶνα καὶ ὅλον τὸν χρόνον μέχρι τῆς στιγμῆς ποὺ γράφω αὐτὴν τὴν ἐπιστολήν. Διὰ τοῦτο δὲν κατέστη δυνατὸν οὔτε νὰ σοῦ στείλωμεν κανένα οὔτε νὰ ἐπισκεφθῶμεν τὴν εὐλάβειάν σου. Εἰκάζομεν δὲ ὅτι καὶ τὰ ἰδικά σου πράγματα εἶναι παρόμοια. Δὲν ἀναφέρομαι βέβαια εἰς τὴν ἀρρώστειαν, μὴ γένοιτο· εἴθε μάλιστα νὰ παράσχῃ ὁ Κύριος εἰς τὸ σῶμά σου διαρκῆ ὑγείαν πρὸς ὑπηρεσίαν τῶν ἐντολῶν του· ἀλλ' ἐννοῶ ὅτι ἡ μέριμνα ὑπὲρ τῶν Ἐκκλησιῶν φέρει καὶ εἰς σὲ τὸν ἴδιον περισπασμόν.

Τώρα δὲ ἐπρόκειτο ν' ἀποστείλω κάποιον ἀκριβῶς δι' αὐτό, διὰ νὰ μᾶς γνωστοποιήσῃ δηλαδὴ τὰ περὶ τῆς καταστάσεώς σου. Ἐπειδὴ δὲ ὁ ἀγαπητὸς υἱὸς Μελέτιος, ὁ ὁποῖος στρατολογεῖ τοὺς νεοσυλλέκτους, μᾶς ὑπενθύμισεν ὅτι θὰ ἦτο δυνατὸν νὰ σὲ χαιρετίσωμεν δι' αὐτοῦ, ἐδέχθημεν μὲ χαρὰν τὴν εὐκαιρίαν νὰ γράψωμεν· καὶ ἐσπεύσαμεν εἰς τὸν κομιστὴν τῆς ἐπιστολῆς, ἄνθρωπον ὁ ὁποῖος ἠμπορεῖ καὶ ἀντὶ ἐπιστολῆς νὰ μεταφέρῃ τὸ μήνυμά μας, καὶ λόγῳ τοῦ φιλαλήθους χαρακτῆρός του καὶ λόγῳ τοῦ ὅτι γνωρίζει ὅλας τὰς ὑποθέσεις μας. Μέσῳ αὐτοῦ παρακαλοῦμεν τὴν εὐλάβειάν σου πρὶν ἀπὸ ὅλα νὰ εὔχεται ὑπὲρ ἡμῶν, νὰ δώσῃ ὁ Κύριος εἰς ἐμὲ μὲν ἀπαλλαγὴν τοῦ φορτικοῦ σώματος, εἰς δὲ τὰς Ἐκκλησίας του τὴν εἰρήνην, εἰς ἐσὲ δὲ ἡσυχίαν καὶ ἄνεσιν, οὕτως ὥστε, ἀφοῦ ρυθμίσῃς τὰς ὑποθέσεις τῆς Λυκαονίας κατὰ τρόπον ἀποστολικόν, ὅπως ἦρχισες, νὰ ἐπισκεφθῇς καὶ αὐτὸν ἐδῶ τὸν τόπον, εἴτε θὰ κατοικῶμεν ἀκόμη εἰς τὴν σάρκα ἡμεῖς εἴτε διαταχθῶμεν πλέον νὰ ἀποδημήσωμεν εἰς τὸν Κύριον· νὰ θεωρήσῃς δὲ ἰδικόν σου τὸν

ὡς ἰδίων, ὅπερ οὖν καί ἐστιν, ἀντέχῃ τῶν καθ' ἡμᾶς τόπων καὶ στηρίζῃς μὲν τὰ σαθρά, ἐπεγείρῃς δὲ τὰ νωθρά, πάντα δὲ τῇ χάριτι τοῦ Πνεύματος τοῦ ὄντος ἐν σοὶ μετακοσμήσῃς πρὸς τὸ εὐάρεστον τῷ Κυρίῳ. Τοὺς δὲ τιμιωτάτους υἱοὺς ἡμῶν Μελέτιον καὶ Μελίτιον, οὓς πόρρωθεν οἶδας καὶ ἑαυτοῦ κρίνεις, ἔχε ἐν παρακαταθήκῃ εὐχόμενος ὑπὲρ αὐτῶν. Αὔταρκες γὰρ αὐτοῖς τοῦτο πρὸς πᾶσαν ἀσφάλειαν. Ὥστε καὶ τοὺς συνόντας τῇ ὁσιότητί σου καὶ πάντα τὸν κλῆρον καὶ τὸν λαὸν τὸν ὑπὸ σοῦ ποιμαινόμενον καὶ τοὺς θεοφιλεστάτους ἀδελφοὺς ἡμῶν καὶ συλλειτουργοὺς προσειπεῖν παρ' ἡμῶν καταξίωσον. Τῆς μνήμης τοῦ μακαριωτάτου μάρτυρος Εὐψυχίου μέμνησο καὶ μὴ ἀναμείνῃς δευτέραν ὑπόμνησιν, μηδὲ ἐμπρόθεσμον σπουδάσῃς ποιήσασθαι τὴν ἀπάντησιν, ἀλλὰ προλαβεῖν καὶ εὐφρᾶναι ἡμᾶς, ἐὰν ἄρα ἔτι ὦμεν ἐπὶ τῆς γῆς. Ἕως τότε ἐρρωμένος ἐν Κυρίῳ, ὑπερευχόμενος ἡμῶν διαφυλαχθείης ἡμῖν καὶ ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις χάριτι τοῦ Ἁγίου.

15

201. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Πολλῶν ἕνεκεν ἐπιθυμῶ συντυχεῖν σοι, ἵνα καὶ συμβούλῳ χρήσωμαι περὶ τῶν ἐν χερσὶ πραγμάτων, καὶ ὅλως ἵνα διὰ μακροῦ θεασάμενός σε ἔχω τινὰ παραμυθίαν τῆς ἀπολείψεως. Ἐπειδὴ δὲ τὰ αὐτὰ ἀμφοτέρους ἐπέσχεν, ἥ τε ὑμῖν συμβᾶσα ἀσθένεια καὶ ἡ παλαιοτέρα ἡμῶν ἀρρωστία μήπω ἀπολείψασα, ἀμφοτέροις δῶμεν συγγνώμην, εἰ βούλει, ἀμφότεροι, ὥστε δι' ἑαυτῶν ἀλλήλους ἀφεῖναι τοῦ ἐγκλήματος.

Ἐπιστολὴ 201. Ἐγράφη πιθανῶς εἰς τὰς ἀρχὰς τοῦ θέρους τοῦ 375. Φαίνεται ὅτι ὁ Ἀμφιλόχιος ἔγραψεν εἰς τὸν Βασίλειον ὅτι ἠμποδίσθη ἀπὸ ἀσθένειαν νὰ τὸν ἐπισκεφθῇ καὶ παρεκάλεσε νὰ τὸν ἐπισκεφθῇ ἐκεῖνος, ἀνταποδίδων προηγουμένην ἐπίσκεψίν του.

τόπον αὐτόν, ὅπως εἶναι ἄλλωστε, καὶ νὰ στηρίξῃς μὲν τὰ σαθρά, νὰ ἐγείρῃς δὲ τὰ νωθρά, ὅλα δὲ νὰ τὰ μεταμορφώσῃς εἰς ὅ,τι εὐαρεστεῖ τὸν Κύριον, μὲ τὴν χάριν τοῦ Πνεύματος ποὺ κατοικεῖ μέσα σου.

Τοὺς δὲ τιμιωτάτους υἱοὺς ἡμῶν Μελέτιον καὶ Μελίτιον, τοὺς ὁποίους γνωρίζεις ἀπὸ καιρὸν καὶ θεωρεῖς ἰδικούς σου, ἔχε τους ὑπὸ τὴν προστασίαν σου, εὐχόμενος ὑπὲρ αὐτῶν. Διότι αὐτὸ εἶναι ἀρκετὸν νὰ τοὺς δώσῃ κάθε ἀσφάλειαν. Παρακαλῶ δὲ νὰ μοῦ κάμῃς τὴν χάριν νὰ χαιρετίσῃς ἐκ μέρους μου ὅποιους εἶναι μαζὶ μὲ τὴν ὁσιότητά σου καὶ ὅλον τὸν κλῆρον καὶ τὸν λαὸν ὁ ὁποῖος ποιμαίνεται ἀπὸ σὲ καὶ τοὺς θεοφιλεστάτους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν.

Νὰ ἐνθυμῆσαι τὴν μνήμην τοῦ μακαριωτάτου μάρτυρος Εὐψυχίου καὶ νὰ μὴ περιμένῃς δευτέραν ὑπόμνησιν οὔτε νὰ φροντίσῃς νὰ κανονίσῃς τὴν ἄφιξίν σου ἀκριβῶς εἰς τὴν καθωρισμένην ἡμέραν, ἀλλὰ νὰ προηγηθῇς αὐτῆς, διὰ νὰ μᾶς κάμῃς εὐτυχεῖς, ἐὰν βέβαια θὰ εἴμεθα ἀκόμη ἐπὶ τῆς γῆς.

Ἕως τότε νὰ μείνῃς δι' ἡμᾶς καὶ τὰς Ἐκκλησίας τοῦ Θεοῦ ὑγιὴς καὶ εὐχέτης ἡμῶν μὲ τὴν χάριν τοῦ ἁγίου Θεοῦ.

15

ΕΠΙΣΤΟΛΗ 201
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Διὰ πολλοὺς λόγους ἐπιθυμῶ νὰ σὲ συναντήσω· καὶ διὰ νὰ σὲ χρησιμοποιήσω ὡς σύμβουλον εἰς τὰ πράγματα ποὺ ἀντιμετωπίζω καὶ γενικῶς διὰ νὰ ἔχω παρηγορίαν διὰ τὴν ἀπουσίαν σου μὲ τὸ νὰ σὲ ἴδω ἔπειτα ἀπὸ πολὺν καιρόν. Ἐπειδὴ δὲ αἱ ἴδιαι αἰτίαι ἠμπόδισαν καὶ τοὺς δύο μας, καὶ ἡ ἀσθένεια ποὺ προσέβαλεν ἐσὲ καὶ ἡ ἰδική μας παλαιοτέρα ἀρρώστεια ποὺ δὲν ἐπέρασεν ἀκόμη, ἂς συγχωρήσωμεν ἀλλήλους, ἐὰν θέλῃς, ὥστε μόνοι μας ν' ἀπαλλάξωμεν ἀλλήλους τῆς κατηγορίας.

16

202. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Καὶ ἄλλως μέν μοι πολλοῦ ἄξιον τὸ συντυγχάνειν τῇ σεμνότητί σου, νῦν δὲ καὶ μάλιστα, ὅτε τοιοῦτόν ἐστι τὸ συνάγον ἡμᾶς πρᾶγμα. Ἀλλ' ἐπειδὴ τὰ λείψανα τῆς ἀρρωστίας μου τοιαῦτα ὡς μηδὲ τὴν βραχυτάτην μοι κίνησιν συγχωρεῖν, ὅς γε, ἵνα τὴν μέχρι τῶν μαρτυρίων ὁδὸν ὀχήματι πορευθῶ, πάλιν μικροῦ πρὸς τὴν αὐτὴν ὑπέστρεψα νόσον, ἀνάγκη συγγνώμης τυχεῖν παρ' ὑμῶν. Κἂν μὲν ᾖ δυνατὸν ὑπερτεθῆναι τὸ πρᾶγμα ὀλίγαις ὕστερον ἡμέραις, καὶ συνέσομαι ὑμῖν τῇ τοῦ Θεοῦ χάριτι καὶ κοινωνήσω τῶν φροντίδων. Ἐὰν δὲ ἐπείγῃ τὰ σπουδαζόμενα, πράξατε μὲν τῇ τοῦ Θεοῦ συνεργίᾳ τὰ ἐν χερσί, συναριθμήσατε δέ με ἑαυτοῖς ὡς παρόντα καὶ τῶν καλῶς γινομένων συνεφαπτόμενον. Ἐρρωμένος καὶ εὔθυμος ἐν Κυρίῳ, ὑπερευχόμενός μου φυλαχθείης τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ χάριτι τοῦ Ἁγίου.

17

218. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Τὴν μὲν χρείαν, ἧς ἕνεκεν παρεγένετο ὁ ἀφελφὸς Αἰλιανός, κατώρθωσεν ἐφ' ἑαυτοῦ οὐδεμιᾶς παρ' ἡμῶν συνεργίας προσδε-

---

Ἐπιστολὴ 202. Κάποιο ἐπεῖγον ζήτημα προεκάλεσε πρόσκλησιν τοῦ Ἀμφιλοχίου πρὸς τὸν Βασίλειον τὸ θέρος τοῦ 375.

Ἐπιστολὴ 218. Ἐγράφη τὸ φθινόπωρον τοῦ 375 καὶ δεικνύει τὸ ἀδιάπτωτον ἐνδιαφέρον τοῦ Βασιλείου δι' ὁλόκληρον τὴν Ἐκκλησίαν καὶ τὸν τρόπον μὲ τὸν ὁποῖον ἐνεργοῦσε διὰ τὴν ἐπανάκτησιν ὑπὸ τῆς Ὀρθοδοξίας ἀπολεσθέντων ἐδαφῶν. Ἡ Λυκία ἦτο περιοχὴ τῆς Ἀσιανῆς ἢ κατ' ἐξοχὴν Ἀσίας (δηλαδὴ τῆς Δυτικῆς Μικρασίας) δυτικῶς τῆς ἐπαρχίας ποὺ ἐποίμαινεν ὁ Ἀμφιλόχιος. Μὲ τὴν βοήθειαν τῶν πολιτικῶν ἀρχῶν καὶ λόγῳ γειτνιάσεως μὲ τὴν πρωτεύουσαν Κωνσταντινούπολιν αἱ κύριαι ἐπισκοπικαὶ ἕδραι τῆς περιοχῆς εἶχαν καταληφθῆ ἀπὸ Ἀρειανούς. Ἀσιανὴν αἵρεσιν ὀνομάζει ἐδῶ ὁ Βασίλειος τὴν πνευματομαχίαν, ἡ ὁποία ἐγεννήθη

16

ΕΠΙΣΤΟΛΗ 202
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Συνάντησις μὲ τὴν σεμνότητά σου καὶ εἰς ὁποιανδήποτε ἄλλην περίστασιν εἶναι σπουδαῖον προνόμιον δι' ἐμέ, πολὺ δὲ περισσότερον τώρα ποὺ μᾶς καλεῖ εἰς σύναξιν τόσον ἀξιόλογος ὑπόθεσις. Ἐπειδὴ τὰ λείψανα τῆς ἀρρωστείας μου εἶναι τέτοια ποὺ νὰ μὴ μοῦ ἐπιτρέπουν οὔτε τὴν παραμικρὰν κίνησιν, τόσον ὥστε ὅταν διήνυσα μὲ ἄμαξαν τὸν δρόμον μέχρι τοῦ παρεκκλησίου τῶν μαρτύρων ὀλίγον ἔλειψε νὰ πέσω πάλιν εἰς τὴν ἰδίαν νόσον, εἶναι ἀνάγκη νὰ πάρω συγγνώμην ἀπὸ ἐσέ. Λοιπόν, ἐὰν εἶναι δυνατὸν ν' ἀναβληθῇ τὸ πρᾶγμα δι' ὀλίγας ἡμέρας, τότε καὶ θὰ σὲ ἐπισκεφθῶ μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ θὰ συμμετάσχω τῶν φροντίδων. Ἐὰν ὅμως ἡ ὑπόθεσις ἐπείγῃ, κάμετε μὲ τὴν βοήθειαν τοῦ Θεοῦ ὅ,τι ἠμπορεῖτε, ὑπολογίσατε δὲ καὶ ἐμὲ παρόντα μαζὶ μὲ σᾶς καὶ συμμεριζόμενον τὰ καλῶς γινόμενα.

Νὰ σὲ φυλάττῃ διὰ τὴν Ἐκκλησίαν ἡ χάρις τοῦ ἁγίου Θεοῦ ὑγιῆ καὶ εὔθυμον ἐν Κυρίῳ καὶ εὐχέτην μου.

17

ΕΠΙΣΤΟΛΗ 218
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Τὴν μὲν ὑπόθεσιν, χάριν τῆς ὁποίας ἦλθεν ἐδῶ ὁ ἀδελφὸς Αἰλιανός, ἐρρύθμισε μόνος του χωρὶς νὰ χρειασθῇ καμμίαν βοήθειαν ἀπὸ ἡμᾶς· εἰς ἡμᾶς δὲ ἔδωσε διπλῆν χάριν, πρῶ-

---

μεταξὺ τῶν κύκλων τῶν Ἡμιαρειανῶν ποὺ εἶχαν ἀρνηθῇ νὰ προσχωρήσουν εἰς τοὺς Ὀρθοδόξους, ἂν ὑπεχρεώνοντο νὰ δεχθοῦν καὶ τοῦ Πνεύματος τὴν θεότητα, καὶ ἦτο εὑρέως διαδεδομένη εἰς τὰς περιοχὰς τῆς Μικρᾶς Ἀσίας, λόγῳ τοῦ ἐκεῖ κύρους τοῦ Βασιλείου Ἀγκύρας. Ἡ πνευματομαχία ἦτο κοινὸν πλέον γνώρισμα τῶν Ἀρειανῶν καὶ τῶν Ἡμιαρειανῶν.

ηθείς. Ἡμῖν δὲ διπλῆν ἔδωκε χάριν, κομίσας τε γράμματα τῆς σῆς θεοσεβείας καὶ ἀφορμὴν τῶν πρὸς σὲ γραμμάτων ἡμῖν παρασχόμενος. Καὶ προσαγορεύομεν οὖν δι' αὐτοῦ τὴν ἀληθινήν σου καὶ ἀμίμητον ἀγάπην, καὶ παρακαλοῦμεν προσεύχεσθαι περὶ ἡμῶν νῦν, εἴπερ ποτέ, τῆς ἐκ τῶν προσευχῶν σου βοηθείας προσδεομένων. Τὸ γὰρ σῶμά μου ἐκ τῆς ὁδοῦ τῆς ἐπὶ τὸν Πόντον συντριβὲν ὑπὸ ἀρρωστίας συνέχεται οὐκ ἀνεκτῶς. Ἐκεῖνο δὲ καὶ πάλαι ἐβουλόμην γνώριμον ποιῆσαι τῇ σῇ συνέσει (οὐ ὡς ὑπ' ἄλλης προηγουμένης αἰτίας διακρουσθεὶς ἐξελαθόμην), νῦν δὲ ὑπομιμνήσκω ἵνα καταξιώσῃς ἄνδρα σπουδαῖον πέμψαι εἰς τὴν Λυκίαν καὶ κατασκέψασθαι τίνες εἰσὶν οἱ τῆς ὀρθῆς πίστεως. Λεῖ γὰρ τάχα μὴ παροφθῆναι αὐτούς, εἴπερ ἀληθῆ ἐστιν ἅ τις τῶν ἐκεῖθεν παραγενομένων πρὸς ἡμᾶς εὐλαβῶν διηγήσατο· ὅτι πάντη πρὸς τὸ ἀσιανὸν φρόνημα ἀπηλλοτριωμένοι ἡμᾶς καταδέχονται ἐπιγράφεσθαι κοινωνούς. Εἰ δὲ μέλλει τις ἀπιέναι, ἐπιζητησάτω ἐν Κορυδάλοις Ἀλέξανδρον ἀπὸ μοναζόντων ἐπίσκοπον καὶ ἐν Λιμύρᾳ Διάτιμον καὶ ἐν Μύροις Τατιανὸν καὶ Πολέμωνα καὶ Μακάριον πρεσβυτέρους, ἐν Πατάροις ἐπίσκοπον Εὔδημον, ἐν Τελμεσσῷ Ἱλάριον ἐπίσκοπον, ἐν Φέλῳ Λολλιανὸν ἐπίσκοπον. Τούτους καὶ ἔτι πλείους ἀνεγνώρισέ τις ἡμῖν ὡς ὑγιαίνοντας περὶ τὴν πίστιν, καὶ πολλὴν ἔσχον χάριν τῷ Θεῷ, εἴ τινες ὅλως ἐν τῷ κλίματι τῷ ἀσιανῷ ἔξω εἰσὶ τῆς βλάβης τῶν αἱρετικῶν. Ἐὰν μὲν οὖν ᾖ δυνατόν, τέως ἄνευ γραμμάτων αὐτοὺς κατασκεψώμεθα· πεισθέντες δέ, λοιπὸν καὶ ἀποστέλλομεν ἐπιστολὴν καὶ σπουδάζομέν τινα ἐξ αὐτῶν προσκαλέσαθαι εἰς τὴν συντυχίαν ἡμῶν. Γένοιτο δὲ πάντα ἐν καιρῷ περὶ τὴν ποθεινοτάτην ἡμῖν Ἐκκλησίαν τὴν Ἰκονίου. Πάντα τὸν τίμιον κλῆρον καὶ τοὺς συνόντας τῇ θεοσεβείᾳ σου ἀσπαζόμεθα διὰ σοῦ.

τον ὅτι ἔφερε γράμματα τῆς θεοσεβείας σου καὶ δεύτερον ὅτι μᾶς ἔδωσεν ἀφορμὴν νὰ σοῦ γράψωμεν. Χαιρετίζομεν λοιπὸν δι' αὐτοῦ τὴν ἀληθινὴν καὶ ἀμίμητον ἀγάπην σου, καὶ σὲ παρακαλοῦμεν νὰ προσεύχεσαι ὑπὲρ ἡμῶν, τώρα ποὺ περισσότερον ἀπὸ κάθε ἄλλην φορὰν ἔχομεν ἀνάγκην τῆς βοηθείας ἀπὸ τὰς προσευχάς σου. Διότι τὸ σῶμά μου, κακοποιηθὲν ἀπὸ τὸν δρόμον πρὸς τὸν Πόντον, συνέχεται ἀπὸ δυσβάστακτον ἀρρώστειαν.

Ἀπὸ καιρὸν δὲ ἤθελα νὰ γνωστοποιήσω εἰς τὴν σύνεσίν σου τὸ κατωτέρω (δὲν τὸ ἐλησμόνησα σὰν νὰ εἶχα περισπασθῆ ἀπὸ ἄλλην σπουδαιοτέραν αἰτίαν), τώρα δὲ τὸ θέτω ὑπ' ὄψιν σου· δηλαδὴ νὰ καταξιώσῃς νὰ στείλῃς εἰς τὴν Λυκίαν σπουδαῖον ἄνδρα, διὰ νὰ ἐξακριβώσῃ ποῖοι εἶναι ἐκεῖ οἱ παράγοντες τῆς ὀρθῆς πίστεως. Διότι ἴσως δὲν πρέπει νὰ τοὺς παραβλέψωμεν, ἂν εἶναι ἀληθινὰ ὅσα μᾶς διηγήθη κάποιος ἐκ τῶν ἐλθόντων ἐδῶ ἀπὸ ἐκεῖ εὐλαβῶν· ὅτι δηλαδή, ἀπομακρυνθέντες τελείως ἀπὸ τὴν ἀσιανὴν κακοδοξίαν, συμφωνοῦν νὰ ἐγγραφοῦν εἰς κοινωνίαν μὲ ἡμᾶς. Ἐὰν δὲ πρόκηται νὰ μεταβῇ κάποιος ἐκεῖ, ἂς ἀναζητήσῃ εἰς Κορύδαλα τὸν Ἀλέξανδρον, ἐπίσκοπον ἐκ μοναχῶν, εἰς Λιμύραν τὸν Διάτιμον, εἰς Μύρα τὸν Τατιανὸν καὶ τὸν Πολέμωνα καὶ τὸν Μακάριον, εἰς Πάταρα τὸν ἐπίσκοπον Εὔδημον, εἰς Τελμεσὸν τὸν ἐπίσκοπον Ἰλάριον, εἰς Φέλον τὸν ἐπίσκοπον Λολλιανόν.

Τούτους καὶ ἄλλους ὑπέδειξεν εἰς ἡμᾶς ἕνας φίλος ὡς ὑγιεῖς εἰς τὴν πίστιν καὶ ηὐχαρίστησα πολὺ τὸν Θεὸν διὰ τὴν πληροφορίαν, ὅτι ὑπάρχουν ἔστω μερικοὶ εἰς τὸ ἀσιανὸν κλῖμα ἔξω ἀπὸ τὴν βλάβην τῶν αἱρετικῶν. Ἐὰν λοιπὸν εἶναι δυνατόν, ἂς διερευνήσωμεν πρῶτον τὰ κατ' αὐτοὺς χωρὶς γράμματα, ὅταν δὲ πεισθῶμεν, τότε στέλλομεν ἐπιστολὴν καὶ φροντίζομεν νὰ προσκαλέσωμεν κάποιον ἀπὸ αὐτοὺς εἰς συνάντησίν μας.

Εἴθε ὅλα τὰ σχετικὰ μὲ τὴν ἠγαπημένην εἰς ἡμᾶς Ἐκκλησίαν τοῦ Ἰκονίου νὰ βαδίζουν καλὰ καὶ εἰς τὸν καιρόν των. Ὅλον τὸν τίμιον κλῆρον καὶ τοὺς συνεργάτας τῆς θεοσεβείας σου χαιρετίζομεν διὰ σοῦ.

18

231. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Ὀλίγας εὑρίσκω τοῦ γράφειν πρὸς τὴν θεοσέβειάν σου τὰς ἀφορμάς, καὶ λυπεῖ με τοῦτο οὐ μικρῶς. Ὅμοιον γάρ, ὥσπερ ἂν εἰ καὶ ἐξὸν πολλάκις ὁρᾶν σε καὶ ἀπολαύειν σου, ὀλιγάκις ἐποίουν τοῦτο. Ἀλλ' οὐκ ἔξεστί μοι γράφειν, δι' ἀπορίαν τῶν ἐντεῦθεν πρὸς ὑμᾶς ἀφικνουμένων· ἐπεὶ οὐδὲν ἐκώλυεν οἰονεὶ ἐφημερίδα τοῦ ἐμοῦ βίου τὰ γράμματα εἶναι, τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα διαγγέλλων σου τῇ ἀγάπῃ. Ἐμοί τε γὰρ κουφισμὸν φέρει τὸ ἀνακοινοῦσθαί σοι τὰ καθ' ἡμᾶς· σέ τε οἶδα οὐδὲν οὕτω μεριμνῶντα ὡς τὰ ἡμέτερα. Ἀλλὰ νῦν Ἐλπίδιος πρὸς τὸν ἑαυτοῦ δεσπότην ἐπειγόμενος, τοῦ ἀποδύσασθαι τὰς διαβολὰς τὰς ψευδῶς αὐτῷ παρά τινων ἐχθρῶν κατασκευασθείσας, ᾔτησεν ἡμᾶς τὴν ἐπιστολήν. Δι' ἧς καὶ προσφθεγγόμεθά σου τὴν εὐλάβειαν καὶ συνιστῶμέν σοι τὸν ἄνδρα διά τε τὸ δίκαιον ἄξιον ὄντα τῆς παρὰ σοῦ προστασίας καὶ δι' ἡμᾶς· οἳ εἰ καὶ μηδὲν ἄλλο ἔχομεν αὐτῷ μαρτυρεῖν, ἀλλ' ὅτι περὶ πολλοῦ ἐποιήσατο γραμμάτων ἡμετέρων γενέσθαι διάκονος, τοῦτόν τε ἔχε ἐν τοῖς οἰκείοις καὶ ἡμῶν μέμνησο καὶ ὑπὲρ τῆς Ἐκκλησίας εὔχου. Γίνωσκε δὲ ὅτι ὁ μὲν θεοφιλέστατος ἀδελφὸς ἡμῶν ὑπερόριός ἐστι, τὰς ὀχλήσεις μὴ φέρων τῶν ἀναισχύντων. Δόαρα δὲ χειμάζεται, τοῦ κήτους τοῦ πολυσάρκου τὰ ἐκεῖ συνταράσσοντος. Ἡμῖν δὲ οἱ ἐχθροὶ τὰς ἐπιβουλὰς ἐπὶ

Ἐπιστολὴ 231. Ἐγράφη εἰς τὸ τέλος τοῦ 375. Δίδει πληροφορίας εἰς τὸν Ἀμφιλόχιον περὶ τῆς καταστάσεως εἰς τὴν Ἐκκλησίαν τῆς Καππαδοκίας, κατόπιν τῆς ἐκδηλώσεως τοῦ διωγμοῦ παρὰ τοῦ βικαρίου Δημοσθένους, περὶ τῆς ἐκπτώσεως τοῦ Γρηγορίου Νύσσης, καὶ περὶ ἀποπερατώσεως τοῦ Περὶ Ἁγίου Πνεύματος δοκιμίου, τοῦ ὁποίου τὴν σύνταξιν εἶχεν ἀναλάβει κατὰ παράκλησιν αὐτοῦ.

18

ΕΠΙΣΤΟΛΗ 231
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Ὀλίγας εὐκαιρίας εὑρίσκω νὰ γράφω πρὸς τὴν θεοσέβειάν σου, καὶ αὐτὸ μὲ λυπεῖ πάρα πολύ. Εἶναι σὰν νὰ ἠμποροῦσα νὰ σὲ βλέπω συχνὰ καὶ νὰ σὲ ἀπολαύω, ἀλλὰ μόνον σπάνια νὰ τὸ ἔπραττα. Ἀλλὰ λόγῳ ἐλλείψεως ἀνθρώπων ποὺ ἔρχονται ἀπὸ ἐδῶ πρὸς σᾶς δὲν μοῦ εἶναι δυνατὸν νὰ σοῦ γράφω. Διότι ἄλλως τίποτε δὲν θὰ ἠμπόδιζε τὰ γράμματά μου, σὰν ἐφημερὶς τοῦ βίου μου, νὰ ἀναγγέλλουν εἰς τὴν ἀγάπην σου τὰ καθημερινῶς συμβαίνοντα. Πράγματι εἰς ἐμὲ φέρει ἀνακούφισιν τὸ νὰ σοῦ ἀνακοινώνω τὰ προβλήματά μας, ἐξ ἄλλου δὲ γνωρίζω ὅτι καὶ σὺ δὲν ἀγωνιᾷς διὰ τίποτε ἄλλο τόσον πολύ, ὅσον δι' αὐτά. Ἀλλὰ τώρα ὁ Ἐλπίδιος, ἐπειγόμενος νὰ μεταβῇ εἰς τὸν κύριόν του, διὰ ν' ἀποσείσῃ τὰς διαβολὰς ποὺ κατεσκεύασθησαν ἐναντίον του ἀπὸ μερικοὺς ἐχθρούς του, μᾶς ἐζήτησε τὴν ἐπιστολήν. Δι' αὐτοῦ λοιπὸν τοῦ ἀνδρὸς χαιρετίζομεν τὴν εὐλάβειάν σου καὶ αὐτὸν τὸν ἄνδρα σοῦ συνιστῶμεν ὡς ἄξιον τῆς προστασίας σου, καὶ χάριν τοῦ δικαίου καὶ χάριν ἡμῶν. Καὶ ἂν δὲν ἔχωμεν νὰ μαρτυρήσωμεν τίποτε ἄλλο ὑπὲρ αὐτοῦ, ἀλλὰ διὰ τὸ ὅτι ἐθεώρησε σπουδαῖον πρᾶγμα τὸ νὰ μεταφέρῃ τὸ γράμμα μου, ἔχε τον μαζὶ μὲ τοὺς ἰδικούς σου. Καὶ νὰ ἐνθυμῆσαι ἡμᾶς καὶ νὰ προσεύχεσαι ὑπὲρ τῆς Ἐκκλησίας.

Μάθε δὲ ὅτι ὁ μὲν θεοφιλέστατος ἀδελφὸς ἡμῶν εἶναι ὑπερόριος [1], διότι δὲν ἠδύνατο νὰ ὑποφέρῃ τὰς ἐνοχλήσεις τῶν ἀναισχύντων, τὰ δὲ Δόαρα χειμάζονται, διότι τὸ παχύσαρκον κῆτος [2] συνταράσσει τὰς ὑποθέσεις αὐτῶν. Ἐναντίον

---

1. Πρόκειται περὶ τοῦ Γρηγορίου, ἐπισκόπου Νύσσης, ὁ ὁποῖος μόλις εἶχεν. ἐξορισθῇ δι' ἀποφάσεως ἀρειανικῆς συνόδου εἰς τὴν Ἄγκυραν, συγκληθείσης ὑπὸ τοῦ Δημοσθένους.

2. Ἐννοεῖται ὁ βικάριος Πόντου Δημοσθένης, ὁ ὁποῖος ἐδίωκε τὸν Γρη-

τοῦ στρατοπέδου τυρεύουσιν, ὡς ὁ τῶν εἰδότων λόγος· ἡ δὲ χεὶρ τοῦ Κυρίου τέως ἐστὶ μεθ' ἡμῶν. Μόνον εὔχου μὴ ἐγκαταλειφθῆναι ἡμᾶς εἰς τέλος. Καὶ γὰρ καὶ ὁ ἀδελφὸς διάγει ἄνετος, καὶ Δόαρα τὸν παλαιὸν ἀπέβαλε μουλίωνα, πλέον δὲ ἔχει οὐδέν· καὶ τὰς βουλὰς τῶν ἐχθρῶν ἡμῶν διασκεδάσει Κύριος. Πάντων μέντοι καὶ τῶν παρόντων καὶ τῶν προσδοκωμένων λυπηρῶν λύσις ἡμῖν τὸ σὲ θεάσασθαι. Ὥστε ἐὰν γένηταί σοί ποτε δυνατόν, ἕως ἔτι ἐσμὲν ὑπὲρ γῆς, καταξίωσον ἡμᾶς ἰδεῖν. Τὸ περὶ τοῦ Πνεύματος βιβλίον γέγραπται μὲν ἡμῖν καὶ ἐξείργασται, ὡς αὐτὸς οἶδας, ἀποστεῖλαι δὲ ἐν χάρτῃ γεγραμμένον ἐκώλυσάν με οἱ μετ' ἐμοῦ ἀδελφοὶ εἰπόντες παρὰ τῆς εὐγενείας σου ἐντολὰς ἔχειν ἐν σωματείῳ γράψαι. Ἵν' οὖν μή τι δόξωμεν ὑπεναντίον ποιεῖν τῷ προστάγματί σου, ἐπέσχομεν νῦν, ἀποστελοῦμεν δὲ μικρὸν ὕστερον, μόνον ἐάν τινος ἐπιτηδείου τοῦ διακομίζοντος ἐπιτύχωμεν. Ἐρρωμένος καὶ εὔθυμος, ὑπερευχόμενος τῷ Κυρίῳ ὑπὲρ ἡμῶν χαρισθείης μοι καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τῇ τοῦ Ἁγίου φιλανθρωπίᾳ.

γόριον Νύσσης, ἐπεχειροῦσε δὲ νὰ διώξῃ καὶ τὸν Βασίλειον καὶ γενικῶς νὰ καταβάλῃ τὴν Ὀρθοδοξίαν. Ἦτο ἀρειανόφιλος. Μόλις ἀνέλαβε τὸ ἀξίωμά του τοῦτο ἐκίνησε σφοδρὸν πόλεμον κατὰ τῶν Ὀρθοδόξων. Ὁ Βασίλειος δὲν χρησιμοποιεῖ τὰ πραγματικὰ ὀνόματα ἀπὸ φόβον ἐνδεχομένης κατασχέσεως τῆς ἐπιστολῆς. Χαρακτηρίζει δὲ τὸν Δημοσθένην ὡς παχύσαρκον κῆτος, διότι φαίνεται ὅτι τοιαύτην ἐμφάνισιν εἶχεν· ἄλλωστε παλαιότερον ἦτο προϊστάμενος τοῦ αὐτοκρατορικοῦ μαγειρείου.

δὲ ἡμῶν, σύμφωνα μὲ πληροφορίας ἀνθρώπων ποὺ γνωρίζουν τὰ πράγματα, βυσσοδομοῦν οἱ ἐχθροὶ εἰς τὴν αὐλήν. Ἡ δὲ χεὶρ τοῦ Κυρίου ἕως τώρα εἶναι μαζί μας. Μόνον νὰ εὔχεσθε νὰ μὴ ἐγκαταλειφθῶμεν ἕως τὸ τέλος. Διότι καὶ ὁ ἀδελφὸς διάγει ἄνετα καὶ τὰ Δόαρα ἀπεμάκρυναν τὸν παλαιὸν ἡμιονηγὸν [3] καὶ δὲν ἔχουν πλέον τίποτε, καὶ τὰς βουλὰς τῶν ἐχθρῶν μας θὰ διαλύσῃ ὁ Κύριος. Ἀλλὰ πάντως ὅλων τῶν λυπηρῶν καὶ τῶν παρόντων καὶ τῶν ἀναμενομένων, λύσις δι' ἡμᾶς εἶναι τὸ νὰ σὲ ἴδωμεν. Ὥστε, ἂν ποτὲ τὸ κατορθώσῃς, ἕως ὅτου εἴμεθα ἐπάνω ἀπὸ τὴν γῆν, ἀξίωσε νὰ μᾶς συναντήσῃς.

Τὸ Περὶ τοῦ Πνεύματος βιβλίον, ὅπως γνωρίζεις ὁ ἴδιος, ἔχει γραφῇ καὶ ἔχει λάβει τὴν ὁριστικήν του μορφήν. Ἀλλὰ οἱ μετ' ἐμοῦ ἀδελφοὶ μὲ ἠμπόδισαν νὰ σοῦ τὸ στείλω γραμμένον εἰς χάρτην, λέγοντες ὅτι ἔχουν ἐντολὰς ἀπὸ τὴν εὐγένειάν σου νὰ τὸ ἀντιγράψουν εἰς μεμβράνην. Διὰ νὰ μὴ φανῶμεν λοιπὸν ὅτι πράττομεν κάτι ἐνάντιον εἰς τὰ προστάγματά σου, τὸ ἀνεβάλαμεν ἐπὶ τοῦ παρόντος, θὰ τὸ ἀποστείλωμεν δὲ ὀλίγον ἀργότερα, μόνον ἐὰν εὕρωμεν πρόσωπον κατάλληλον νὰ τὸ μεταφέρῃ.

Ὑγιὴς καὶ εὔθυμος, προσευχόμενος εἰς τὸν Κύριον, εἴθε νὰ χαρισθῇς εἰς ἐμὲ καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ διὰ τῆς φιλανθρωπίας τοῦ Ἁγίου Πνεύματος.

---

3. Πρόκειται διὰ κάποιο πρόσωπον, τὸ ὁποῖον εἶχε τοποθετηθῇ ὑπὸ τοῦ Δημοσθένους ἐπὶ κεφαλῆς τῆς Ἐκκλησίας Δοάρων καί, ὅπως φαίνεται, δὲν εἶχε γίνει δεκτὸν ὑπὸ τοῦ λαοῦ.

19

232. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Πᾶσα ἡμέρα γράμματα ἔχουσα τῆς θεοσεβείας σου ἑορτὴ ἡμῖν ἐστὶ καὶ ἑορτῶν ἡ μεγίστη. Ὅταν δὲ καὶ σύμβολα ἐπιφέρηται ἑορτῆς, τί ἄλλο χρὴ ὀνομάζειν ἢ οὐχὶ ἑορτὴν ἑορτῶν, ὥσπερ ὁ παλαιὸς νόμος σάββατα σαββάτων προσαγορεύειν εἰώθει; Εὐχαριστοῦμεν οὖν τῷ Κυρίῳ, μαθόντες ὅτι καὶ ἔρρωσαι τῷ σώματι καὶ εἰρηνευούσῃ τῇ Ἐκκλησίᾳ τῆς σωτηρίου οἰκονομίας τὴν ἀνάμνησιν ἐτέλεσας. Ἡμᾶς δὲ θόρυβοί τινες διετάραξαν· οὐ μὴν ἔξω κατηφείας διηγάγομεν τῷ τὸν θεοφιλέστατον ἀδελφὸν ἡμῶν πεφυγαδευμένον εἶναι. Ἀλλ' ὑπὲρ μὲν ἐκείνου προσεύχου, ἵνα δώῃ αὐτῷ ὁ Θεὸς ποτε ἐπιδεῖν τὴν ἑαυτοῦ Ἐκκλησίαν τῶν αἱρετικῶν δειμάτων τὰ τραύματα ἰαθεῖσαν, ἡμᾶς δὲ καταξίωσον λίαν ἐπισκέψασθαι, ἕως ἔτι ἐσμὲν ἐπὶ γῆς. Ποίησον ἔργον σαυτῷ μὲν ἀκόλουθον, ἡμῖν δὲ εὐχῆς ἄξιον τῆς μεγίστης. Θαυμάσαι δέ ἐστι καὶ τὴν διάνοιαν τῶν εὐλογιῶν, ὅτι δι' αἰνιγμάτων ηὔξω ἡμῖν γῆρας ἰσχυρόν. Ἔδειξας γὰρ ὅτι διὰ μὲν τῶν λαμπηνῶν πρὸς τοὺς νυκτερινοὺς διεγείρεις καμάτους, διὰ δὲ τῶν τραγημάτων τὸ πᾶσι τοῖς μέρεσι τετονῶσθαι κατεγγυᾷ. Οὐ γὰρ ἔμοιγε καθ' ἡλικίαν τὸ τρώγειν, πάλαι τῶν ὀδόντων ἔκ τε τοῦ χρόνου καὶ ἐκ τῆς ἀρρωστίας

Ἐπιστολὴ 232. Ἐγράφη εἰς τὰς ἀρχὰς Ἰανουαρίου 376, εἰς ἀπάντησιν ἐπιστολῆς ποὺ τοῦ ἔστειλεν ὁ μαθητὴς καὶ φίλος Ἀμφιλόχιος ἐπ' εὐκαιρίᾳ τῶν Χριστουγέννων, τὰ ὁποῖα ἑωρτάζοντο ἀκόμη τότε τὴν 6 Ἰανουαρίου εἰς τὴν Καππαδοκίαν. Μαζὶ μὲ τὴν ἐπιστολὴν ὁ Ἀμφιλόχιος τοῦ ἔστειλεν ὡς δῶρα λάμπες καὶ γλυκίσματα.

19

ΕΠΙΣΤΟΛΗ 232
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Κάθε ἡμέρα ποὺ φέρει γράμμα ἀπὸ τὴν θεοσέβειάν σου εἶναι δι' ἡμᾶς ἑορτή, καὶ μάλιστα ἡ μεγίστη τῶν ἑορτῶν· ὅταν δὲ ἐπὶ πλέον φέρῃ καὶ δῶρα ὡς σύμβολα ἑορτῆς, τί ἄλλο ἠμποροῦμεν νὰ τὴν ὀνομάσωμεν παρὰ ἑορτὴν ἑορτῶν, κατὰ τὴν συνήθειαν τοῦ παλαιοῦ νόμου νὰ ὁμιλῇ διὰ Σάββατα Σαββάτων; Εὐχαριστοῦμεν λοιπὸν τὸν Κύριον ποὺ ἐμάθαμεν ὅτι καὶ εἰς τὸ σῶμα εἶσαι ὑγιὴς καὶ τὴν ἀνάμνησιν τῆς σωτηρίου ἐνανθρωπήσεως ἐτέλεσες εἰς τὴν Ἐκκλησίαν σου μὲ πλήρη εἰρήνην.

Ἡμᾶς ἐδῶ ὅμως διετάραξαν μερικοὶ θόρυβοι καὶ δὲν ἐπεράσαμεν χωρὶς μεγάλην λύπην, ἀφοῦ ὁ θεοφιλέστατος ἀδελφός μας ἠναγκάσθη νὰ φύγῃ εἰς ἐξορίαν [1]. Καὶ δι' ἐκεῖνον μὲν νὰ προσεύχεσαι νὰ δώσῃ ὁ Θεὸς νὰ ξαναϊδῇ κάποτε τὴν Ἐκκλησίαν του θεραπευμένην ἀπὸ τὰ τραύματα ποὺ προεκάλεσεν ἡ αἱρετικὴ φοβέρα. Ὡς πρὸς ἡμᾶς δέ, κάμε τὴν χάριν νὰ μᾶς ἐπισκεφθῇς, ὅσον εἴμεθα ἀκόμη ἐπὶ τῆς γῆς· κάμε μίαν πρᾶξιν ἁρμόζουσαν εἰς τὴν ὅλην διαγωγήν σου, δι' ἡμᾶς δὲ ἀξίαν τῆς ὑψίστης εὐχῆς.

Ἀξίζει δὲ νὰ θαυμάσῃ κανεὶς διὰ τὴν συμβολικὴν σημασίαν τῶν εὐλογιῶν σου, τῶν δώρων· πόσον δηλαδὴ αἰνιγματικῶς ηὐχήθης νὰ εἶναι ἰσχυρὸν τὸ γῆρας μας. Διότι πράγματι ἔδειξες ὅτι μὲ τὶς λάμπες μᾶς ἀφυπνίζεις εἰς νυκτερινοὺς κόπους, ἐνῷ μὲ τὰ γλυκίσματα ἐξασφαλίζεις τὴν ἀπὸ κάθε πλευρὰν τόνωσίν μας. Ἀλλὰ φυσικὰ δὲν ταιριάζει εἰς τὴν ἡλικίαν μου νὰ τρώγω τέτοια πράγματα, ἀφοῦ τὰ δόντια μου ἔχουν τριβῆ ἀπὸ τὸν χρόνον καὶ ἀπὸ τὴν ἀρρώστειαν.

---

1. Ὁ ἀδελφὸς τοῦ Βασιλείου Γρηγόριος, ἐπίσκοπος Νύσσης, συλληφθεὶς ὑπὸ ἀνδρῶν τοῦ βικαρίου Πόντου Δημοσθένους, εἶχε δραπετεύσει, ἔπειτα δὲ εἶχε κηρυχθῆ ἔκπτωτος ὑπὸ ἀρειανικῆς συνόδου ποὺ συνῆλθεν εἰς τὴν ἕδραν του

ἐκτετριμμένων. Πρὸς μὲν οὖν τὰ ἐπερωτηθέντα γεγόνασί τινες ἐν τῷ ὑπομνηστικῷ ἀποκρίσεις οἵας ἐμοὶ δυνατὸν ἦν καὶ ὡς ὁ καιρὸς ἐδίδου.

20

233. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΕΡΩΤΗΣΑΝΤΙ

1. Οἶδα καὶ αὐτὸς ἀκούσας τούτου, καὶ γνωρίζω τῶν ἀνθρώπων τὴν κατασκευήν. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Ὅτι καλὸν μὲν ὁ νοῦς καὶ ἐν τούτῳ ἔχομεν τὸ κατ' εἰκόνα τοῦ κτίσαντος, καὶ καλὸν τοῦ νοῦ ἡ ἐνέργεια, καὶ ὅτι, ἀεικίνητος ὢν οὗτος, πολλάκις μὲν φαντασιοῦται περὶ τῶν οὐκ ὄντων ὡς ὄντων, πολλάκις δὲ εὐθυβόλως ἐπὶ τὴν ἀλήθειαν φέρεται. Ἀλλ' ἐπειδὴ τούτῳ διττὰι δυνάμεις παραπεφύκασι κατά τε τὴν ἡμετέραν τῶν εἰς Θεὸν πεπιστευκότων ὑπόληψιν, ἡ μὲν πονηρά, ἡ τῶν δαιμόνων, πρὸς τὴν ἰδίαν ἀποστασίαν ἡμᾶς συνεφελκομένη, ἡ δὲ θειοτέρα καὶ ἀγαθὴ πρὸς τὴν Θεοῦ ὁμοίωσιν ἡμᾶς ἀνάγουσα, ὅταν μὲν ἐφ' ἑαυτοῦ μένῃ ὁ νοῦς, μικρὰ καθορᾷ καὶ τὰ ἑαυτῷ σύμμετρα, ὅταν δὲ τοῖς ἀπατῶσιν ἑαυτὸν ἐπιδῷ ἀφανίσας τὸ οἰκεῖον κριτήριον, φαντασίαις σύνεστιν ἀλλοκότοις. Τότε καὶ τὸ ξύλον οὐχὶ ξύλον εἶναι νομίζει, ἀλλὰ Θεόν, καὶ χρυσὸν οὐχὶ χρήματα εἶναι κρίνει, ἀλλὰ σε-

---

2. Τὸ ἓν λόγῳ ὑπόμνημα ἀποτελεῖται ἀπὸ τὰς τρεῖς ἐν συνεχείᾳ ἐπιστολὰς τοῦ Βασιλείου (233, 234, 235), αἱ ὁποῖαι ἀπαντοῦν εἰς ἰσάριθμα γενικὰ ἐρωτήματα τοῦ Ἀμφιλοχίου.

Ἐπιστολὴ 233. Ἀποτελεῖ τὸ πρῶτον μέρος τοῦ ὑπομνήματος ποὺ ἔστειλεν ὁ Βασίλειος πρὸς τὸν φίλον του Ἀμφιλόχιον ἐπίσκοπον Ἰκονίου, τὸν Ἰανουάριον τοῦ 376. Καὶ ἀπαντᾷ εἰς τὸ πρῶτον ἐρώτημά του. Τὸ ἐρώτημα ἦτο, φαίνεται, ὡς ἑξῆς: «Οἱ Ἀνόμοιοι μᾶς κατηγοροῦν ὅτι, ἀφοῦ ἀρνούμεθα νὰ ζητήσωμεν τὴν πλήρη κατανόησιν τοῦ Θεοῦ μὲ τὴν δύναμιν τοῦ νοῦ, περιφρονοῦμεν τὸν νοῦν ποὺ εἶναι δημιούργημα τοῦ Θεοῦ. Ποία εἶναι ἡ ἀπάντησις;». Ὁ Βασίλειος εἰς τὴν ἀπάντησιν τονίζει ὅτι ὁ νοῦς ἐδόθη διὰ ν'

Ὡς πρὸς τὰ ἐρωτήματα ποὺ μοῦ ἀπηύθυνες, δίδονται σχετικαὶ ἀπαντήσεις εἰς τὸ ὑπόμνημα, ἀπαντήσεις τοιαῦται, ὅσας ἠμποροῦσα νὰ δώσω καὶ ὅσας ὁ καιρὸς μοῦ ἐπέτρεπεν [2].

20

ΕΠΙΣΤΟΛΗ 233
ΠΡΟΣ ΤΟ ΕΡΩΤΗΜΑ ΤΟΥ ΑΜΦΙΛΟΧΙΟΥ

1. Γνωρίζω τὴν ἀντίρρησιν, διότι τὴν ἤκουσα καὶ ἐγὼ ὁ ἴδιος· ἀλλ' ἐπίσης γνωρίζω τὴν νοοτροπίαν τῶν ἀνθρώπων. Τί θὰ εἴπωμεν λοιπὸν εἰς αὐτά;

Θὰ εἴπωμεν πράγματι ὅτι καλὸν μὲν εἶναι ὁ νοῦς, καὶ εἰς αὐτὸν ἔχομεν τὸ κατ' εἰκόνα τοῦ κτίσαντος· ὅτι ἐπίσης καλὴ εἶναι ἡ ἐνέργεια τοῦ νοῦ· καὶ ὅτι οὗτος, ἀφοῦ εἶναι ἀεικίνητος, πολλάκις σχηματίζει φανταστικὰς εἰκόνας περὶ ἀνυπάρκτων πραγμάτων ὡς ὑπαρκτῶν, πολλάκις δὲ φέρεται κατ' εὐθεῖαν πρὸς τὴν ἀλήθειαν. Εἰς αὐτὸν ὅμως εἶναι παροῦσαι δύο δυνάμεις, σύμφωνα μὲ τὴν ἀντίληψιν ἡμῶν οἱ ὁποῖοι πιστεύομεν εἰς τὸν Θεόν, ἡ μὲν μία πονηρὰ καὶ δαιμονική, ποὺ μᾶς ἑλκύει πρὸς τὴν ἀποστασίαν της, ἡ δὲ ἄλλη θειοτέρα καὶ ἀγαθή, ποὺ μᾶς ἀναβιβάζει πρὸς τὴν ὁμοίωσιν μὲ τὸν Θεόν. Ὅταν λοιπὸν ὁ νοῦς μένῃ εἰς ἑαυτόν, ἀντιλαμβάνεται πράγματα μικρὰ καὶ σύμμετρα πρὸς τὸν ἑαυτόν του, ὅταν δὲ παραδοθῇ εἰς τοὺς ἀπατῶντας, ἀφανίζων τὸ ἰδικόν του κριτήριον, ἐμπλέκεται εἰς ἀλλοκότους φαντασίας. Τότε νομίζει ὅτι καὶ τὸ ξύλον δὲν εἶναι ξύλον, ἀλλὰ Θεός, καὶ θεωρεῖ ὅτι ὁ χρυσὸς δὲν εἶναι χρῆμα, ἀλλὰ ἀντικείμενον λατρείας. Ἐὰν δὲ κλίνῃ πρὸς τὴν θειοτέραν μερίδα

ἀναγνωρίζῃ τὸν Θεὸν καὶ νὰ τὸν κατανοῇ μέχρις ἑνὸς σημείου, ὄχι διὰ νὰ τὸν γνωρίζῃ πλήρως καὶ νὰ τὸν περιγράφῃ. Οἱ Ἀνόμοιοι, ὀπαδοὶ τοῦ Εὐνομίου, λεγόμενοι οὕτω διότι ἠρνοῦντο τὴν ὁμοουσιότητα ἀλλὰ καὶ τὴν ἁπλῆν ὁμοιότητα τοῦ Υἱοῦ μὲ τὸν Πατέρα, ἀποτελοῦσαν τὴν ἀκραίαν μερίδα τῶν Ἀρειανῶν.

βάσματα. Ἐὰν δὲ πρὸς τὴν θειοτέραν ἀπονεύσῃ μερίδα καὶ τὰς τοῦ Πνεύματος ὑποδέξηται χάριτας, τότε γίνεται τῶν θειοτέρων καταληπτικός, ὅσον αὐτοῦ τῇ φύσει σύμμετρον. Τρεῖς οὖν εἰσιν οἱονεὶ βίων καταστάσεις, καὶ ἰσάριθμοι τούτοις αἱ τοῦ νοῦ ἡμῶν ἐνέργειαι. Ἡ γὰρ πονηρὰ ἡμῶν τὰ ἐπιτηδεύματα, καὶ πονηρὰ ἡμῶν δηλονότι τὰ τοῦ νοῦ κινήματα, οἷον μοιχεῖαι, κλοπαί, εἰδωλολατρίαι, συκοφαντίαι, ἔριδες, θυμοί, ἐριθεῖαι, φυσιώσεις, καὶ ὅσα ἐν τοῖς ἔργοις τῆς σαρκὸς ὁ ἀπόστολος Παῦλος ἀπεριθμήσατο. Ἡ μέση τίς ἐστι τῆς ψυχῆς ἡ ἐνέργεια, οὔτε κατεγνωσμένον τι ἔχουσα ἐπαινετόν, ὡς ἡ τῶν βαναύσων τούτων τεχνῶν ἀνάληψις, ἃς δὴ καὶ μέσας προσαγορεύομεν, οὐδὲν τῷ ἑαυτῶν λόγῳ πρὸς ἀρετὴν ἢ κακίαν ἀποκλινούσας. Ποία γὰρ κακία κυβερνητικῆς ἢ ἰατρικῆς; Οὐ μέντοιγε οὐδὲ ἀρεταὶ αὐταὶ καθ' ἑαυτάς, ἀλλ' ἐκ τῆς τῶν κεχρημένων προαιρέσεως πρὸς τὴν τοῦ ἑτέρου τῶν ἀντικειμένων ἀποκλίνουσι μοῖραν. Ὁ μέντοι τῇ θεότητι τοῦ Πνεύματος ἀνακραθεὶς νοῦς, οὗτος ἤδη τῶν μεγάλων ἐστὶ θεωρημάτων ἐποπτικὸς καὶ καθορᾷ τὰ θεῖα κάλλη, τοσοῦτον μέντοι ὅσον ἡ χάρις ἐνδίδωσι καὶ ἡ κατασκευὴ αὐτοῦ ὑποδέχεται.

2. Ὥστε ἀφέντες ἐκείνας τὰς διαλεκτικὰς ἐρωτήσεις, μὴ κακεντρεχῶς, ἀλλ' εὐλαβῶς ἐξεταζέτωσαν τὴν ἀλήθειαν. Δέδοται ἡμῖν τὸ τοῦ νοῦ κριτήριον εἰς τὴν τῆς ἀληθείας σύνεσιν. Ἔστι δὲ ἡ αὐτοαλήθεια ὁ Θεὸς ἡμῶν. Ὥστε προηγούμενόν ἐστι τῷ νῷ τὸν Θεὸν ἡμῶν ἐπιγινώσκειν· ἐπιγινώσκειν δὲ οὕτως ὡς δυνατὸν γνωρίζεσθαι τὸν ἀπειρομεγέθη ὑπὸ τοῦ μικροτάτου. Οὐδὲ γὰρ ἐπειδὴ ὀφθαλμοὶ εἰς κατανόησιν τῶν ὁρατῶν εἰσι τεταγμένοι, ἤδη πάντα τὰ ὁρατὰ ὑπὸ τὴν ὄψιν ἄγεται. Οὐδὲ γὰρ τὸ ἡμισφαί-

---

1. Οἱ Ἀνόμοιοι ἰσχυρίζοντο ὅτι γνωρίζουν τὸν Θεὸν τόσον καλὰ ὅσον ὁ ἴδιος ὁ Υἱὸς γνωρίζει ἑαυτόν. Οἱ Καππαδόκαι καὶ ὁ Ἰωάννης Χρυσόστο-

καὶ δεχθῇ τὰς χάριτας τοῦ Πνεύματος, τότε γίνεται ἱκανὸς νὰ καταλάβῃ τὰ θειότερα, ὅσον ταιριάζει εἰς τὴν φύσιν του.

Τρεῖς λοιπὸν εἶναι, θὰ ἔλεγα, καταστάσεις βίων καὶ ἰσάριθμοι μὲ αὐτὰς ἐνέργειαι τοῦ νοῦ μας. Διότι ἢ αἱ πράξεις μας εἶναι πονηραί, καὶ προφανῶς πονηραὶ εἶναι ἐπίσης αἱ κινήσεις τοῦ νοῦ, ὅπως μοιχεῖαι, κλοπαί, εἰδωλολατρίαι, συκοφαντίαι, ἔριδες, θυμοί, ἐριθεῖαι, φυσιώσεις, καὶ ὅσα ἄλλα ἀπηρίθμησεν ὁ ἀπόστολος Παῦλος μεταξὺ τῶν ἔργων τῆς σαρκός· ἢ αἱ πράξεις μας εἶναι καλαί, καὶ προφανῶς καλαὶ εἶναι ἐπίσης αἱ κινήσεις τοῦ νοῦ· ἢ ἡ ἐνέργεια τῆς ψυχῆς εἶναι κάπου εἰς τὴν μέσην, καὶ δὲν εἶναι οὔτε κάτι τὸ ἀξιοκατάκριτον οὔτε κάτι τὸ ἀξιέπαινον, ὅπως εἶναι ἡ ἀπασχόλησις μὲ τὰς μηχανικὰς ἐκεῖνας τέχνας ποὺ χαρακτηρίζομεν ἀκριβῶς ὡς μέσας, ἐφ' ὅσον καθ' ἑαυτὰς δὲν ἀποκλίνουν καθόλου οὔτε πρὸς τὴν ἀρετὴν οὔτε πρὸς τὴν κακίαν. Διότι πράγματι κατὰ τί εἶναι κακὴ ἡ πλοήγησις ἢ ἡ ἰατρική; Βεβαίως ὅμως καθ' ἑαυτὰς δὲν εἶναι οὔτε ἀρεταί, ἀλλὰ κλίνουν πρὸς τὴν μίαν ἢ τὴν ἄλλην ἐκ τῶν ἀντιθέτων τούτων καταστάσεων κατὰ τὴν προαίρεσιν τῶν ἀσκούντων αὐτάς. Ὁ νοῦς ὅμως ποὺ ἔχει διαποτισθῇ ἀπὸ τὴν θεότητα τοῦ Πνεύματος, αὐτὸς εἶναι ἤδη ἐπόπτης τῶν μεγάλων θεωρημάτων καὶ καθορᾷ τὰ θεῖα κάλλη, ὅσον ἡ χάρις ἐπιτρέπει καὶ ἡ κατασκευή του χωρεῖ.

2. Ἐπομένως ἂς ἀφήσουν ἐκείνας τὰς διαλεκτικὰς ἀναζητήσεις οἱ ἄνθρωποι αὐτοί, διὰ νὰ ἐξετάσουν τὴν ἀλήθειαν μὲ εὐλάβειαν καὶ ὄχι μὲ κακοήθειαν [1]. Τὸ κριτήριον τοῦ νοῦ μας ἔχει δοθῇ διὰ τὴν κατανόησιν τῆς ἀληθείας. Ὁ δὲ Θεὸς ἡμῶν εἶναι ἡ αὐτοαλήθεια. Ὅθεν τὸ πρωταρχικὸν καθῆκον τοῦ νοῦ εἶναι νὰ ἀποκτήσῃ ἐπίγνωσιν τοῦ Θεοῦ ἡμῶν, τοιαύτην φυσικὰ ἐπίγνωσιν αὐτοῦ, ὅσον εἶναι δυνατὸν νὰ γνωρίζεται ὁ ἀπειρομεγέθης ἀπὸ τὸν μικρότατον. Διότι οὔτε, ἐπειδὴ οἱ ὀφθαλμοὶ ἔχουν ταχθῇ νὰ συλλαμβάνουν τὰ ὁρατά, φέρονται

μος θεωροῦν τὸν ἰσχυρισμὸν τοῦτον ὡς μίαν ἀπὸ τὰς χειροτέρας ὕβρεις κατὰ τοῦ Θεοῦ.

ριον τοῦ οὐρανοῦ ἐν μιᾷ ῥοπῇ καθορᾶται, ἀλλὰ φαντασία μὲν ὄψεως ἡμᾶς περιίσταται, κατὰ δὲ τὴν ἀλήθειαν πολλά, ἵνα μὴ πάντα εἴπω, ἔστιν ἐν αὐτῷ τὰ ἀγνοούμενα· ἀστέρων φύσις, μεγέθη τούτων, διαστήματα, κινήσεις, συνδρομαί, ἀποστάσεις, αἱ λοιπαὶ σχέσεις, αὐτὴ ἡ οὐσία τοῦ στερεώματος, τὸ βάθος τὸ ἀπὸ τῆς κοίλης περιφερείας ἐπὶ τὴν κυρτὴν ἐπιφάνειαν. Ἀλλ' ὅμως οὐκ ἂν εἴποιμεν ἀόρατον εἶναι τὸν οὐρανὸν διὰ τὰ ἀγνοούμενα, ἀλλ' ὁρατὸν διὰ τὴν μετρίαν αὐτοῦ κατανόησιν. Οὕτω δὴ καὶ περὶ Θεοῦ. Εἰ μὲν βεβλαμμένος ἐστὶν ὑπὸ δαιμόνων ὁ νοῦς, εἰδωλολατρήσει ἢ πρὸς ἄλλο τι εἶδος ἀσεβείας παρατραπήσεται. Εἰ δὲ τῇ τοῦ Πνεύματος ἑαυτὸν ἐπιδέδωκε βοηθείᾳ, τὴν ἀλήθειαν γνωρίσει καὶ Θεὸν ἐπιγνώσεται. Ἐπιγνώσεται δέ, ὡς ὁ ἀπόστολος εἶπεν, ἐκ μέρους· ἐν δὲ τῇ μετὰ ταῦτα ζωῇ, τελεώτερον· (Ὅταν γὰρ ἔλθῃ τὸ τελειότερον, τὸ ἐκ μέρους καταργηθήσεται). Ὥστε καὶ καλὸν τοῦ νοῦ τὸ κριτήριον καὶ πρὸς εὔχρηστον τέλος, τὴν Θεοῦ κατανόησιν, δεδομένον, ἐνεργοῦν μέντοι τοσοῦτον ὅσον αὐτῷ χωρητόν.

21

234. ΤΩ ΑΥΤΩ ΠΡΟΣ ΑΛΛΟ ΕΡΩΤΗΜΑ

1. Ὃ οἶδας σέβεις, ἢ ὃ ἀγνοεῖς; Ἐὰν ἀποκρινώμεθα ὅτι ὃ οἴδαμεν τοῦτο προσκυνοῦμεν, ταχεῖα παρ' αὐτῶν ἡ ἀπάντησις· τί ἡ οὐσία τοῦ προσκυνουμένου; Ἐὰν δὲ ἀγνοεῖν ὁμολογή-

---

2. Κατὰ τὰς ἀστρονομικὰς ἀντιλήψεις τῆς ἐποχῆς ἐκείνης, τὰς ὁποίας ὁ Βασίλειος ἐγνώριζεν ἄριστα καὶ ἐξέθεσεν εἰς τὰς ὁμιλίας του Εἰς τὴν Ἑξαήμερον.

3. Α' Κορ. 13, 10.

Ἐπιστολὴ 234. Ἀποτελεῖ τὸ δεύτερον μέρος τοῦ ὑπομνήματος ποὺ ἔ-

διὰ μιᾶς εἰς θέαν ὅλα τὰ ὁρατά. Πράγματι οὔτε τὸ ἡμισφαίριον τοῦ οὐρανοῦ καθορᾶται μὲ μίαν ματιάν, ἀλλ' ἀντιθέτως ἐνώπιόν του μᾶς περιβάλλει μία φαντασιώδης θέα, καὶ εἶναι ἀλήθεια ὅτι πολλὰ πράγματα εἰς αὐτόν, διὰ νὰ μὴ εἴπω ὅλα, ἀγνοοῦνται· φύσις ἀστέρων, μεγέθη αὐτῶν, διαστήματα, κινήσεις, συνδρομαί, ἀποστάσεις, αἱ ἄλλαι σχέσεις, αὐτὴ καθ' ἑαυτὴν ἡ οὐσία τοῦ στερεώματος, τὸ βάθος ἀπὸ τὴν κοίλην περιφέρειαν ἕως τὴν κυρτὴν ἐπιφάνειαν [2]. Ἀλλ' ὅμως δὲν ἠμποροῦμεν λόγῳ τῶν ἀγνοουμένων νὰ εἴπωμεν ὅτι ὁ οὐρανὸς εἶναι ἀόρατος, ἀλλὰ λόγῳ τῆς μετρίας κατανοήσεώς του λέγομεν ὅτι εἶναι ὁρατός.

Τὸ ἴδιον συμβαίνει καὶ ὡς πρὸς τὸν Θεόν. Ἐὰν μὲν ὁ νοῦς εἶναι βλαμμένος ἀπὸ δαίμονας, θὰ λατρεύσῃ εἴδωλα ἢ θὰ στραφῇ πρὸς ἄλλο εἶδος ἀσεβείας· ἐὰν δὲ ἔχῃ ἀνοίξει ἑαυτὸν εἰς τὴν βοήθειαν τοῦ Πνεύματος, θὰ γνωρίσῃ τὴν ἀλήθειαν καὶ θὰ ἀναγνωρίσῃ τὸν Θεόν. Θὰ τὸν ἀναγνωρίσῃ δέ, ὅπως εἶπεν ὁ ἀπόστολος, ἐν μέρει, τελειότερον δὲ εἰς τὴν μετὰ ταῦτα ζωήν. «Διότι ὅταν ἔλθῃ τὸ τέλειον τὸ μερικὸν θὰ καταργηθῇ» [3]. Ἑπομένως τὸ κριτήριον τοῦ νοῦ καὶ καλὸν εἶναι καὶ εἰς χρήσιμον σκοπὸν ἔχει δοθῇ, τὴν κατανόησιν τοῦ Θεοῦ, ἀρκεῖ νὰ ἐνεργῇ μέχρι τοιούτου σημείου, ὅσον εἶναι εἰς αὐτὸ παραχωρημένον.

21

ΕΠΙΣΤΟΛΗ 234
ΠΡΟΣ ΑΛΛΟ ΕΡΩΤΗΜΑ ΤΟΥ ΑΜΦΙΛΟΧΙΟΥ

1. Ὅ,τι γνωρίζεις σέβεσαι ἢ ὅ,τι ἀγνοεῖς; Ἐὰν ἀποκριθῶμεν, «προσκυνοῦμεν ὅ,τι γνωρίζομεν», ἔρχεται ἀμέσως ἡ ἀπάντησις, «ποία εἶναι ἡ οὐσία τοῦ προσκυνουμένου;». Ἐὰν

στειλεν ὁ Βασίλειος πρὸς τὸν Ἀμφιλόχιον τὸν Ἰανουάριον τοῦ 376. Καὶ ἀπαντᾷ εἰς τὸ δεύτερον ἐρώτημά του ποὺ περιέχεται εἰς τὸν πρόλογον αὐτῆς. Οἱ Ἀνόμοιοι, διὰ νὰ φέρουν εἰς δυσκολίαν τοὺς Ὀρθοδόξους, ἐρωτοῦν· ὅ,τι γνωρίζεις σέβεσαι ἢ ὅ,τι ἀγνοεῖς; «Ὃ οἶδας σέβεις ἢ ὃ ἀγνοεῖς;» Ἂν

σωμεν τὴν οὐσίαν, πάλιν ἡμῖν περιτρέψαντες λέγουσιν ὅτι, οὐκοῦν ὃ οὐκ οἴδατε προσκυνεῖτε. Ἡμεῖς δὲ λέγομεν ὅτι τὸ εἰδέναι πολύσημον. Καὶ γὰρ τὴν μεγαλειότητα τοῦ Θεοῦ εἰδέναι λέγομεν καὶ τὴν δύναμιν καὶ τὴν σοφίαν καὶ τὴν ἀγαθότητα καὶ τὴν πρόνοιαν ᾗ ἐπιμελεῖται ἡμῶν καὶ τὸ δίκαιον αὐτοῦ τῆς κρίσεως, οὐκ αὐτὴν τὴν οὐσίαν. Ὥστε ἐπηρεαστικὴ ἡ ἐρώτησις. Οὐ γὰρ ὁ τὴν οὐσίαν μὴ φάσκων εἰδέναι ὡμολόγησε τὸν Θεὸν μὴ ἐπίστασθαι, ἐκ πολλῶν ὧν ἀπηριθμησάμεθα συναγομένης ἡμῖν τῆς περὶ Θεοῦ ἐννοίας. Ἀλλ' ἁπλοῦς, φησίν, ὁ Θεός, καὶ πᾶν ὅπερ ἂν αὐτοῦ ἀπαριθμήσῃ γνωστὸν τῆς οὐσίας ἐστί. Τοῦτο δὲ σόφισμά ἐστι μυρίας τὰς ἀτοπίας ἔχον. Τοσούτων τῶν ἀπηριθμημένων ὄντων, πότερον, ταῦτα πάντα μιᾶς οὐσίας ὀνόματα; Καὶ ἰσοδυναμεῖ ἀλλήλοις τὸ φοβερὸν αὐτοῦ καὶ τὸ φιλάνθρωπον καὶ τὸ δίκαιον καὶ τὸ δημιουργικόν, τὸ προγνωστικὸν καὶ τὸ ἀνταποδοτικόν, τὸ μεγαλεῖον καὶ τὸ προνοητικόν, ἢ καὶ ὅπερ ἂν τούτων εἴπωμεν τὴν οὐσίαν δηλοῦμεν; Εἴπερ γὰρ τοῦτο λέγουσι, μὴ ἐρωτάτωσαν εἰ τὴν οὐσίαν οἴδαμεν τοῦ Θεοῦ, ἀλλὰ πυνθανέσθωσαν ἡμῶν εἰ φοβερὸν οἴδαμεν τὸν Θεὸν ἢ εἰ δίκαιον ἢ εἰ φιλάνθρωπον. Ταῦτα ὁμολογοῦμεν εἰδέναι. Εἰ δὲ ἄλλο τι λέγουσι τὴν οὐσίαν, μὴ παραλογιζέσθωσαν ἡμᾶς διὰ τῆς ἁπλότητος. Αὐτοὶ γὰρ ὡμολόγησαν ἄλλο καὶ ἄλλο εἶναι τήν τε οὐσίαν καὶ τῶν ἀπηριθμημένων ἕκαστον. Ἀλλ' αἱ μὲν ἐνέργειαι ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. Ἡμεῖς δὲ ἐκ μὲν τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεὸν ἡμῶν, τῇ δὲ οὐσίᾳ αὐτῇ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος.

αὐτοὶ ἀπαντήσουν, «ὅ,τι γνωρίζω», τότε ἐκεῖνοι θὰ ἀντείπουν, «αὐτὸ καὶ ἡμεῖς ἰσχυριζόμεθα, ὅτι δηλαδὴ γνωρίζομεν τελείως τὸν Θεόν»· ἂν αὐτοὶ ἀπαντήσουν, «ὅ,τι ἀγνοῶ», τότε θὰ τοὺς εἴπουν· «πῶς λοιπὸν σέβεσαι κάτι ποὺ ἀγνοεῖς;»

δὲ ὁμολογήσωμεν ὅτι ἀγνοοῦμεν τὴν οὐσίαν, ἀντιστρέφοντες εἰς ἡμᾶς τὸν λόγον, λέγουν, «ἄρα προσκυνεῖτε κάτι ποὺ ἀγνοεῖτε».

Ἡμεῖς ὅμως λέγομεν ὅτι τὸ γνωρίζειν εἶναι πολυσήμαντον. Πράγματι δὲ λέγομεν ὅτι γνωρίζομεν καὶ τὴν μεγαλειότητα τοῦ Θεοῦ καὶ τὴν δύναμιν καὶ τὴν σοφίαν καὶ τὴν ἀγαθότητα καὶ τὴν πρόνοιαν μὲ τὴν ὁποίαν φροντίζει δι' ἡμᾶς καὶ τὴν δικαιοσύνην τῆς κρίσεώς του, ἀλλ' ὄχι αὐτὴν ταύτην τὴν οὐσίαν. Ὥστε ἡ ἐρώτησις εἶναι παραπειστική. Διότι ἐκεῖνος ποὺ λέγει ὅτι δὲν γνωρίζει τὴν οὐσίαν, μὲ αὐτὸ δὲν ἔχει ὁμολογήσει ὅτι δὲν ἔχει κἂν γνῶσιν τοῦ Θεοῦ, ἀφοῦ ἡ περὶ Θεοῦ ἔννοια συνάγεται ἀπὸ ἡμᾶς ἐκ πολλῶν ἰδιωμάτων, τὰ ὁποῖα ἀπηριθμήσαμεν ἀνωτέρω. «Ἀλλά», λέγει, «ὁ Θεὸς εἶναι ἁπλοῦς καὶ κάθε ἰδίωμά του, τὸ ὁποῖον θὰ ἀπαριθμήσῃ κανεὶς ὡς γνωστόν, ἀνήκει εἰς τὴν οὐσίαν του». Αὐτὸ ὅμως εἶναι σόφισμα περικλεῖον μυρία ἀτοπήματα. Ὅλα ὅσα ἔχουν ἀπαριθμηθῇ εἶναι ὀνόματα μιᾶς οὐσίας; Καὶ ἰσοδυναμοῦν πρὸς ἄλληλα τὸ δέος αὐτοῦ καὶ ἡ φιλανθρωπία, ἡ δικαιοσύνη καὶ ἡ δημιουργικότης, τὸ προγνωστικὸν καὶ τὸ ἀνταποδοτικόν, τὸ μεγαλεῖον καὶ τὸ προνοητικόν; Ἤ τάχα, ἂν ἀναφέρωμεν ὁποιονδήποτε ἀπὸ αὐτά, δηλώνομεν τὴν οὐσίαν; Διότι, ἂν λέγουν αὐτό, τότε ἂς μὴ ἐρωτοῦν, ἂν γνωρίζωμεν τὴν οὐσίαν τοῦ Θεοῦ, ἀλλ' ἂς ζητοῦν νὰ μάθουν ἀπὸ ἡμᾶς, ἂν γνωρίζωμεν τὸν Θεὸν ὡς φοβερὸν ἢ δίκαιον ἢ φιλάνθρωπον. Αὐτὰ τὰ πράγματα ὁμολογοῦμεν ὅτι τὰ γνωρίζομεν. Ἐὰν δὲ ἰσχυρίζωνται ὅτι ἡ οὐσία εἶναι κάτι ἄλλο, ἂς μὴ μᾶς παραπλανοῦν, ἐπικαλούμενοι τὴν ἁπλότητα τοῦ Θεοῦ. Διότι οἱ ἴδιοι ὡμολόγησαν ὅτι ἄλλο εἶναι ἡ οὐσία καὶ ἄλλο ἕκαστον ἀπὸ ἐκεῖνα τὰ ὁποῖα ἀπηριθμήθησαν. Ἀλλ' αἱ μὲν ἐνέργειαι εἶναι ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. Ἡμεῖς δὲ ἀπὸ μὲν τὰς ἐνεργείας βεβαιώνομεν ὅτι γνωρίζομεν τὸν Θεὸν ἡμῶν, τὴν οὐσίαν δὲ τὴν ἰδίαν δὲν ἰσχυριζόμεθα ὅτι προσεγγίζομεν. Διότι αἱ μὲν ἐνέργειαί του καταβαίνουν πρὸς ἡμᾶς, ἡ δὲ οὐσία του παραμένει ἀπρόσιτος [1].

1. Κλασικὸν χωρίον περὶ τῆς διακρίσεως μεταξὺ τῆς οὐσίας τοῦ Θε-

2. Ἀλλ' εἰ τὴν οὐσίαν, φησίν, ἀγνοεῖς, αὐτὸν ἀγνοεῖς. Σὺ δὲ ἀντίστρεψον, ὅτι, εἰ τὴν οὐσίαν λέγεις εἰδέναι, αὐτὸν οὐκ ἐπίστασαι. Οὔτε γὰρ ὁ λυσσόδηκτος βλέπων τὸν κύνα ἐν τῇ φιάλῃ πλεῖον ὁρᾷ τῶν ὑγιαινόντων, ἀλλὰ διὰ τοῦτο ἐλεεινός, ὅτι οἴεται βλέπειν ἃ μὴ ὁρᾷ. Μὴ οὖν θαυμάσῃς τοῦτον τῆς ἐπαγγελίας, ἀλλὰ τῆς παρανοίας αὐτὸν ἐλεεινὸν κρῖνον. Γίνωσκε τοίνυν ὅτι παιζόντων ἐστὶν ἡ φωνή, εἰ τὴν οὐσίαν τοῦ Θεοῦ ἀγνοεῖς, ὃ μὴ γινώσκεις σέβεις. Ἐγὼ δὲ ὅτι μὲν ἔστιν οἶδα, τί δὲ ἡ οὐσία ὑπὲρ διάνοιαν τίθεμαι. Πῶς οὖν σώζομαι; Διὰ τῆς πίστεως. Πίστις δὲ αὐτάρκης εἰδέναι ὅτι ἐστὶν ὁ Θεός, οὐχὶ τί ἐστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. Εἴδησις ἄρα τῆς θείας οὐσίας ἡ αἴσθησις αὐτοῦ τῆς ἀκαταληψίας, καὶ σεπτὸν οὐ τὸ καταληφθὲν τίς ἡ οὐσία, ἀλλ' ὅτι ἐστὶν ἡ οὐσία.

3. Καὶ ἀντερωτάσθωσαν οὕτω. «Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ Μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, οὗτος ἐξηγήσατο». Τί ἐξηγήσατο τοῦ Πατρὸς ὁ Μονογενής; Τὴν οὐσίαν ἢ τὴν δύναμιν; Εἰ τὴν δύναμιν, ὅσον ἐξηγήσατο ἡμῖν, τοσοῦτον γνωρίζομεν. Εἰ τὴν οὐσίαν, εἰπέ, ποῦ εἶπεν αὐτοῦ τὴν ἀγεννησίαν οὐσίαν; Ἀβραὰμ πότε προσεκύνησεν; Οὐχ ὅτε ἐπίστευσε; Πότε δὲ ἐπίστευσεν; Οὐχ ὅτε ἐκλήθη; Ποῦ οὖν ἐνταῦθα ἡ κατάληψις αὐτῷ ἐμαρτυρήθη παρὰ τῆς Γραφῆς; Οἱ μαθηταὶ δὲ αὐτὸν πότε

οὗ καὶ τῶν ἐνεργειῶν του. Ἡ οὐσία εἶναι ἀπρόσιτος καὶ τὴν ἀγνοοῦμεν, αἱ ἐνέργειαι εἶναι προσιταὶ καὶ τὰς γνωρίζομεν. Αὐτὸ τὸ θέμα ἀνέπτυξαν ἀργότερα οἱ Ἡσυχασταί.

2. Ὁ Βασίλειος λέγει ὅτι εἶναι ἀδύνατον νὰ γνωρίσωμεν τελείως τὸν Θεόν, δυνάμεθα ὅμως νὰ ἀναγνωρίσωμεν τὴν ὕπαρξίν του καὶ νὰ ἀντιληφθῶμεν τὰς ἐνεργείας του. Ὅποιος ἰσχυρίζεται ὅτι γνωρίζει τὴν οὐσίαν του, τότε αὐτὸ ποὺ γνωρίζει εἶναι κάτι ἄλλο καὶ ὄχι ἡ οὐσία τοῦ Θεοῦ, ἡ ὁποία εἶναι ἀκατάληπτος.

3. Οἱ Ἀνόμοιοι μὲ τὸ νὰ στηρίζουν τὴν λατρείαν πρὸς τὸν Θεὸν εἰς

2. «Ἀλλά», παρεμβαίνει, «ἐὰν ἀγνοῇς τὴν οὐσίαν, ἀγνοεῖς τὸν ἴδιον». Ἐσὺ τότε ἀντίστρεψε ὅτι, «ἐὰν ἰσχυρίζεσαι ὅτι γνωρίζεις, δὲν γνωρίζεις τὸν ἴδιον» [2]. Διότι οὔτε ὁ λυσσόδηκτος, βλέπων τὸν σκύλον εἰς τὴν φιάλην, βλέπει περισσότερον ἀπὸ τοὺς ὑγιεῖς· ἀντιθέτως μάλιστα εἶναι ἀξιολύπητος διὰ τοῦτο, διὰ τὸ ὅτι δηλαδὴ βλέπει πράγματα τὰ ὁποῖα δὲν βλέπει. Νὰ μὴ τὸν θαυμάσῃς λοιπὸν διὰ τὸν ἰσχυρισμόν του, ἀλλὰ νὰ τὸν θεωρήσῃς ἐλεεινὸν διὰ τὸν παραλογισμόν. Γνώριζε λοιπὸν ὅτι τὰ λόγια ταιριάζουν εἰς παίζοντας· «ἐὰν ἀγνοῇς τὴν οὐσίαν τοῦ Θεοῦ, σέβεσαι ὅ,τι δὲν γνωρίζεις». Ἐγὼ δὲ ὅτι μὲν ὑπάρχει ὁ Θεός, γνωρίζω, εἰς τί δὲ συνίσταται ἡ οὐσία, τὸ θεωρῶ πέραν τῆς κατανοήσεως. Τότε λοιπὸν πῶς σώζομαι; Μὲ τὴν πίστιν [3]. Ἡ δὲ πίστις εἶναι ἀρκετή, διὰ νὰ γνωρίσῃ ὅτι ὑπάρχει ὁ Θεός, ὄχι τί εἶναι ὁ Θεός, καὶ ὅτι γίνεται μισθαποδότης πρὸς ἐκείνους ποὺ τὸν ἀναζητοῦν. Ἑπομένως γνῶσις τῆς θείας οὐσίας εἶναι ἡ συναίσθησις τῆς ἀκαταληψίας του· καὶ προσκυνητὸν εἶναι ὄχι τὸ τί κατανοοῦμεν ὅτι εἶναι ἡ οὐσία, ἀλλὰ τὸ ὅτι ἡ οὐσία ὑφίσταται.

3. Ἂς ἐρωτηθοῦν δὲ καὶ αὐτοὶ μὲ τὴν σειράν των ὡς ἑξῆς. «Κανείς ποτε δὲν εἶδε τὸν Θεόν. Ὁ μονογενὴς Υἱὸς ὁ εὑρισκόμενος εἰς τὸν κόλπον τοῦ Πατρός, αὐτὸς τὸν ἀπεκάλυψε» [4]. Τί ἐφανέρωσεν ἀπὸ τὸν Πατέρα ὁ Μονογενής; Τὴν οὐσίαν ἢ τὴν δύναμιν; Ἐὰν τὴν δύναμιν, ὅσον τὴν ἐφανέρωσε, τόσον τὴν γνωρίζομεν. Ἐὰν τὴν οὐσίαν, τότε εἰπέ μου, ποῦ ὠνόμασεν οὐσίαν τὴν ἀγεννησίαν του [5]; Πότε προσεκύνησεν ὁ Ἀβραάμ; ὄχι ὅταν ἐπίστευσε; Πότε δὲ ἐπίστευσεν; ὄχι ὅταν ἐκλήθη; Ποῦ λοιπὸν εἰς τὴν περίπτωσίν του μαρτυρεῖται ἀπὸ τὴν Γραφὴν ἡ κατανόησίς του; Οἱ δὲ μαθηταὶ πότε τὸν

τὴν γνῶσιν τοῦ Θεοῦ ἐπεριφρονοῦσαν τὴν πίστιν, εἰς τὴν ὁποίαν ὁ Βασίλειος δίδει τὴν ἁρμόζουσαν θέσιν.

4. Ἰω. 1, 18.

5. Οἱ Ἀνόμοιοι ἰσχυρίζοντο ὅτι οὐσία τοῦ Θεοῦ εἶναι βασικῶς ἡ ἀγεννησία αὐτοῦ.

προσεκύνησαν; Οὐχ ὅτε τὴν κτίσιν αὐτῷ εἶδον ὑποτεταγμένην; Ἀπὸ γὰρ θαλάσσης καὶ ἀνέμων ὑπακουσάντων αὐτῷ ἐγνώρισαν αὐτοῦ τὴν θεότητα. Οὐκοῦν ἀπὸ μὲν τῶν ἐνεργειῶν ἡ γνῶσις, ἀπὸ δὲ τῆς γνώσεως ἡ προσκύνησις. Πιστεύεις ὅτι δύναμαι τοῦτο ποιῆσαι; «Πιστεύω, Κύριε, καὶ προσεκύνησεν αὐτῷ». Οὕτως ἡ μὲν προσκύνησις τῇ πίστει ἀκολουθεῖ, ἡ δὲ πίστις ἀπὸ δυνάμεως βεβαιοῦται. Εἰ δὲ λέγεις τὸν πιστεύοντα καὶ γινώσκειν, ἀφ' ὧν πιστεύει, ἀπὸ τούτων καὶ γινώσκει· ἢ καὶ ἀνάπαλιν, ἀφ' ὧν γινώσκει, ἀπὸ τούτων καὶ πιστεύει. Γινώσκομεν δὲ ἐκ τῆς δυνάμεως τὸν Θεόν. Ὥστε πιστεύομεν μὲν τῷ γνωσθέντι, προσκυνοῦμεν δὲ τῷ πιστευθέντι.

22

235. ΤΩ ΑΥΤΩ ΠΡΟΣ ΑΛΛΟ ΕΡΩΤΗΜΑ

1. Τί πρότερον, ἡ γνῶσις ἢ ἡ πίστις; Ἡμεῖς δὲ λέγομεν ὅτι καθόλου μὲν ἐπὶ τῶν μαθημάτων πίστις γνώσεως προηγεῖται· ἐπὶ δὲ τοῦ καθ' ἡμᾶς λόγου, κἂν λέγῃ τις προκατάρχειν τὴν γνῶσιν τῆς πίστεως, οὐ διαφερόμεθα (γνῶσιν μέντοι τὴν τῇ ἀνθρωπίνῃ καταλήψει σύμμετρον). Ἐπὶ μὲν γὰρ τῶν μαθημάτων πιστεῦσαι δεῖ πρῶτον ὅτι ἄλφα λέγεται καί, μαθόντα τοὺς χαρακτῆρας καὶ τὴν ἐκφώνησιν, ὕστερον λαβεῖν καὶ τὴν ἀκριβῆ κατανόησιν τῆς δυνάμεως τοῦ στοιχείου. Ἐν δὲ τῇ περὶ Θεοῦ πίστει ἡγεῖ-

---

6. Βλέπε Ματθ. 9, 28. Ἰω. 9, 35· 38.

7. Ἡ γνῶσις, ἡ πίστις καὶ ἡ προσκύνησις τοῦ Θεοῦ εἶναι τρεῖς ὄψεις τῆς θρησκευτικῆς ἐμπειρίας, αἱ ὁποῖαι δὲν ἠμποροῦν νὰ χωρισθοῦν πλήρως. Ἡ μία βοηθεῖ τὴν ἄλλην, ἡ μία οἰκοδομεῖ ἐπάνω εἰς τὴν ἄλλην.

Ἐπιστολὴ 235. Ἀποτελεῖ τὸ τρίτον μέρος τοῦ ὑπομνήματος ποὺ ἔστειλεν ὁ Βασίλειος πρὸς τὸν Ἀμφιλόχιον Ἰκονίου, τὸν Ἰανουάριον τοῦ 376. Καὶ ἀπαντᾷ εἰς τὸ τρίτον ἐρώτημα αὐτοῦ, μὲ τὸ ὁποῖον καὶ ἀρχίζει·

προσεκύνησαν; Ὄχι ὅταν εἶδαν τὴν κτίσιν νὰ ὑποτάσσεται εἰς αὐτόν; Διότι ἀπὸ τὸ φαινόμενον νὰ ὑπακούουν εἰς αὐτὸν ἡ θάλασσα καὶ οἱ ἄνεμοι ἐκατάλαβαν τὴν θεότητά του.

Ἐπομένως ἀπὸ μὲν τὰς ἐνεργείας τοῦ Θεοῦ γεννᾶται ἡ γνῶσις, ἀπὸ δὲ τὴν γνῶσιν γεννᾶται ἡ προσκύνησις. «Πιστεύεις ὅτι ἠμπορῶ νὰ κάμω τοῦτο;» «Πιστεύω, Κύριε, καὶ τὸν προσεκύνησεν» [6]. Οὕτως ἡ μὲν προσκύνησις ἀκολουθεῖ τὴν πίστιν, ἡ δὲ πίστις κατοχυρώνεται ἀπὸ τὴν δύναμιν. Ἐὰν δὲ ἰσχυρίζεσαι ὅτι, ὅποιος πιστεύει, ἐπίσης γνωρίζει, ἀπὸ ὅ,τι πιστεύει, ἀπὸ αὐτὸ ἀκριβῶς γνωρίζει· ἢ καὶ τὸ ἀντίθετον, ἀπὸ ὅ,τι γνωρίζει, ἀπὸ αὐτὸ ἀκριβῶς πιστεύει. Γνωρίζομεν δὲ τὸν Θεὸν ἀπὸ τὴν δύναμιν. Ὥστε πιστεύομεν μὲν εἰς αὐτὸν ποὺ γνωρίζομεν, προσκυνοῦμεν δὲ αὐτὸν ποὺ πιστεύομεν [7].

22

ΕΠΙΣΤΟΛΗ 235
ΠΡΟΣ ΑΛΛΟ ΕΡΩΤΗΜΑ ΤΟΥ ΑΜΦΙΛΟΧΙΟΥ

1. «Τί προηγεῖται, ἡ γνῶσις ἢ ἡ πίστις;». Ἡμεῖς πάντως λέγομεν ὅτι γενικῶς μὲν ἐπὶ τῶν ἐπιστημῶν ἡ πίστις προηγεῖται τῆς γνώσεως, ἐνῷ εἰς τὸ πεδίον τῆς χριστιανικῆς θεολογίας, καὶ ἂν εἴπῃ κανεὶς ὅτι ἡ γνῶσις πρέπει νὰ ἔρχεται πρώτη, δὲν διαφωνοῦμεν, ἀρκεῖ νὰ ἐννοῇ γνῶσιν σύμμετρον μὲ τὴν ἀνθρωπίνην κατάληψιν. Πράγματι εἰς τὸν χῶρον τῆς ἐπιστήμης, πρέπει πρῶτα νὰ πιστεύσῃς ὅτι ὡρισμένον γράμμα λέγεται ἄλφα καὶ, ἀφοῦ μάθῃς τὸν χαρακτῆρα καὶ τὴν προφοράν του, ἔπειτα νὰ συλλάβῃς καὶ τὴν ἀκριβῆ ἔννοιαν τῆς ἀξίας τοῦ στοιχείου. Εἰς τὴν περίπτωσιν ὅμως τῆς πίστεως εἰς Θεὸν προηγεῖται

«τί πρότερον, ἡ γνῶσις ἢ ἡ πίστις;». Ὁ Βασίλειος καθορίζει ἐδῶ ἀκριβέστερον ὅτι προηγεῖται ἡ ἀναγνώρισις τῆς ὑπάρξεως τοῦ Θεοῦ διὰ τῆς θέας τῶν δημιουργημάτων του καὶ διὰ τῆς νοητικῆς δυνάμεως τοῦ ἀνθρώπου· τὴν γνῶσιν ἀκολουθεῖ ἡ πίστις καὶ τέλος τὴν πίστιν ἡ προσκύνησις.

ται μὲν ἡ ἔννοια ἡ περὶ τοῦ ὅτι ἐστὶ Θεός, ταύτην δὲ ἐκ τῶν δημιουργημάτων συνάγομεν. Σοφὸν γὰρ καὶ δυνατὸν καὶ ἀγαθὸν καὶ πάντα αὐτοῦ τὰ ἀόρατα ἀπὸ τῆς τοῦ κόσμου κτίσεως νοοῦντες ἐπιγινώσκομεν. Οὕτω δὴ καὶ Δεσπότην ἑαυτῶν αὐτὸν καταδεχόμεθα. Ἐπειδὴ γὰρ παντὸς μὲν τοῦ κόσμου δημιουργὸς ὁ Θεός, μέρος δὲ κόσμου ἡμεῖς, καὶ ἡμῶν ἄρα δημιουργὸς ὁ Θεός. Ταύτῃ τῇ γνώσει ἡ πίστις ἀκολουθεῖ καὶ τοιαύτῃ πίστει ἡ προσκύνησις.

2. Νῦν δὲ ἐπειδὴ πολύσημόν ἐστι τὸ τῆς γνώσεως ὄνομα, οἱ καταπαίζοντες τῶν ἀκεραιοτέρων καὶ ὁμοίως ἐνεπιδεικνύμενοι τοῖς παραδόξοις, ὡς οἱ ἐν τοῖς θεάτροις ἐν ταῖς πάντων ὄψεσι τὰς ψήφους κλέπτοντες, τῇ ἐρωτήσει τοῦ καθόλου τὸ πᾶν συναρπάζουσιν. Ἐπειδὴ γὰρ τὸ τῆς γνώσεως ὄνομα ἐπὶ πολὺ διαβαίνει, καὶ γνωστόν τί ἐστι τὸ μὲν κατὰ ἀριθμόν, τὸ δὲ κατὰ μέγεθος, τὸ δὲ κατὰ δύναμιν, τὸ δὲ κατὰ τὸν τρόπον τῆς ὑπάρξεως, τὸ δὲ κατὰ τὸν χρόνον τῆς γεννήσεως, τὸ δὲ κατ' οὐσίαν, οὗτοι ἐν ἐρωτήματι τὸ ὅλον παραλαμβάνοντες, ἐὰν μὲν λάβωσιν ἡμᾶς ὁμολογοῦντας ὅτι γινώσκομεν, ἀπαιτοῦσιν ἡμᾶς τῆς οὐσίας τὴν εἴδησιν· ἐὰν δὲ ἴδωσιν ἡμᾶς εὐλαβουμένους πρὸς τὴν ἀπόφασιν, περιτρέπουσιν ἡμῖν τῆς ἀσεβείας τὸ ὄνειδος. Ἀλλ' ἡμεῖς εἰδέναι μὲν ὁμολογοῦμεν τὸ γνωστὸν τοῦ Θεοῦ, εἰδέναι δέ τι πάλιν δ ἐκφεύγει ἡμῶν τὴν κατάληψιν. Ὡς οὖν ἐάν με ἐρωτήσῃς εἰ οἶδα τί ἐστιν ἄμμος κἂν ἀποκρίνωμαι ὅτι ἐπίσταμαι, συκοφαντήσεις προδήλως, ἐὰν εὐθὺς καὶ τὸν ἀριθμὸν αὐτῆς ἀπαιτήσῃς, διότι ἡ μὲν πρώτη σου ἐρώτησις πρὸς τὸ εἶδος ἔφερε τῆς ἄμμου, ἡ δὲ δευτέρα συκοφαντία περὶ τὸν ἀριθμὸν αὐτῆς περιετράπη· ὁμοιόν ἐστι τοῦτο τὸ σόφισμα τῷ λέγοντι· «Οἶδας Τιμόθεον; Οὐκοῦν, ἐὰν οἶδας Τιμόθεον, οἶδας αὐτοῦ καὶ τὴν φύσιν· ἀλλὰ μὴν ὡμολό-

---

1. Οἱ Ἀνόμοιοι ὠνείδιζαν τοὺς Ὀρθοδόξους, διότι, ἀρνούμενοι τὴν γνῶσιν τῆς οὐσίας τοῦ Θεοῦ, ἠρνοῦντο τάχα καὶ γνῶσιν τῆς ὑπάρξεως αὐτοῦ.

μὲν ἡ ἔννοια περὶ τῆς ὑπάρξεως τοῦ Θεοῦ, ταύτην δὲ συνάγομεν ἀπὸ τὰ δημιουργήματα. Διότι τὸν ἀναγνωρίζομεν μὲ τὸ νὰ κατανοήσωμεν τὴν σοφίαν καὶ τὴν δύναμιν καὶ τὴν ἀγαθότητα καὶ ὅλα τὰ ἀόρατα προσόντα του, ὅπως φαίνεται εἰς τὴν κτίσιν τοῦ κόσμου. Οὕτω τὸν παραδεχόμεθα καὶ ὡς Δεσπότην μας. Ἐπειδὴ δηλαδὴ ὅλου μὲν τοῦ κόσμου δημιουργὸς εἶναι ὁ Θεός, ἡμεῖς δὲ εἴμεθα μέρος τοῦ κόσμου, ἄρα ὁ Θεὸς εἶναι καὶ ἰδικός μας δημιουργός. Εἰς αὐτὴν δὲ τὴν γνῶσιν ἀκολουθεῖ ἡ πίστις καὶ εἰς τὴν τοιαύτην πίστιν ἀκολουθεῖ ἡ προσκύνησις.

2. Τώρα δέ, ἐπειδὴ ἡ λέξις «γνῶσις» εἶναι πολυσήμαντος, ἐκεῖνοι ποὺ περιγελοῦν τοὺς ἀθωοτέρους καὶ ἐπιδεικνύονται μὲ τὰ παράδοξα, μὲ τὴν χρῆσιν εἰς τὴν ἐρώτησιν αὐτῆς τῆς κοινῆς λέξεως, ἁρπάζουν μαζὶ τὸ πᾶν, ὅπως οἱ ταχυδακτυλουργοὶ εἰς τὰ θέατρα κλέπτουν τὰς ψηφῖδας ἐμπρὸς εἰς τὰ μάτια τοῦ πλήθους. Ἐπειδὴ δηλαδὴ ἡ λέξις «γνῶσις» ἐπεκτείνεται εἰς πολλά, αὐτὰ δὲ καθίστανται γνωστὰ ἄλλο μὲν κατὰ τὸν ἀριθμόν, ἄλλο δὲ κατὰ τὸ μέγεθος, ἄλλο κατὰ τὴν δύναμιν, ἄλλο κατὰ τὸν τρόπον τῆς ὑπάρξεως, ἄλλο κατὰ τὸν χρόνον τῆς γεννήσεως, ἄλλο κατὰ τὴν οὐσίαν, οὗτοι περικλείοντες εἰς τὸ ἐρώτημα αὐτῶν τὸ σύνολον τῶν πραγμάτων τούτων, ἐὰν μᾶς συλλάβουν ὁμολογοῦντας, ὅτι γνωρίζομεν, μᾶς ζητοῦν γνῶσιν τῆς οὐσίας, ἐὰν δὲ μᾶς ἴδουν ἐπιφυλακτικοὺς εἰς τὴν ἀπάντησιν, μᾶς ἐπιρρίπτουν τὸ ὄνειδος τῆς ἀσεβείας[1].

Ἐκεῖνο ὅμως τὸ ὁποῖον ἡμεῖς ὁμολογοῦμεν εἶναι ὅτι γνωρίζομεν μὲν τὸ γνωριστὸν τοῦ Θεοῦ, ἀλλ' εἶναι ἀδύνατον νὰ γνωρίζωμεν κάτι ποὺ ἐκφεύγει τὴν κατάληψίν μας. Ὅπως λοιπόν, ἐὰν μὲ ἐρωτήσῃς ἂν γνωρίζω τί εἶναι ἄμμος, καὶ ἐγὼ ἀπαντήσω ὅτι γνωρίζω, προφανῶς θὰ τὸ γυρίσῃς εἰς σοφιστείαν, ἐὰν εὐθὺς ἀμέσως ζητήσῃς καὶ τὸν ἀριθμόν της· διότι ἡ μὲν πρώτη σου ἐρώτησις ἀνεφέρετο εἰς τὸ εἶδος τῆς ἄμμου, ἡ δὲ δευτέρα σοφιστικὴ ἐρώτησις μετεπήδησεν εἰς ζήτησιν τοῦ ἀριθμοῦ της. Τοῦτο τὸ σόφισμα εἶναι ὅμοιον μὲ ἐκείνου ποὺ λέγει· «Γνωρίζεις τὸν Τιμόθεον; Λοιπόν, ἂν γνωρίζῃς τὸν Τιμόθεον, γνωρίζεις καὶ τὴν φύσιν αὐτοῦ· ἀλλὰ βεβαίως ὡμολό-

γησας εἰδέναι Τιμόθεον· ἀπόδος τοίνυν ἡμῖν τὸν λόγον τῆς Τιμοθέου φύσεως». Ἐγὼ δὲ καὶ οἶδα Τιμόθεον, καὶ οὐκ οἶδα· οὐ μὴν κατὰ ταὐτὸν καὶ ἐν τῷ αὐτῷ. Οὐ γὰρ καθ' ὃ οἶδα, κατὰ τοῦτο καὶ οὐκ οἶδα· ἀλλὰ κατ' ἄλλο μὲν οἶδα, κατ' ἄλλο δὲ ἀγνοῶ. Οἶδα μὲν γὰρ αὐτὸν κατὰ τὸν χαρακτῆρα καὶ τὰ λοιπὰ ἰδιώματα, ἀγνοῶ δὲ αὐτοῦ τὴν οὐσίαν. Ἐπεὶ καὶ ἐμαυτὸν οὕτω τούτῳ τῷ λόγῳ καὶ οἶδα καὶ ἀγνοῶ. Οἶδα μὲν γὰρ ἐμαυτὸν ὅστις εἰμί, οὐκ οἶδα δὲ καθὸ τὴν οὐσίαν μου ἀγνοῶ.

3. Ἐπεὶ ἐξηγησάσθωσαν ἡμῖν πῶς εἶπεν ὁ Παῦλος ὅτι· «Νῦν μὲν ἐκ μέρους γινώσκομεν». Ἆρα ἐκ μέρους τὴν οὐσίαν αὐτοῦ γινώσκομεν, οἱονεὶ μέρη τῆς οὐσίας αὐτοῦ γινώσκομεν; Ἀλλ' ἄτοπον, ἀμερὴς γὰρ ὁ Θεός. Ἀλλ' ὅλην αὐτὴν γινώσκομεν; Πῶς οὖν, «Ὅταν ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται»; Οἱ δὲ εἰδωλολάτραι τί ἐγκαλοῦνται; Οὐχ ὅτι γνόντες τὸν Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν; Ἢ Γαλάται δὲ οἱ ἀνόητοι ὑπὸ τοῦ Παύλου διὰ τί ὀνειδίζονται λέγοντος· «Νυνὶ δὲ γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα;». Γνωστὸς δὲ πῶς ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός; Ἆρα ἐπειδὴ ἐν τῇ Ἰουδαίᾳ ἡ οὐσία ἥτις τότε ἦν ἐπεγνώσθη; «Ἔγνω, φησί, βοῦς τὸν κτησάμενον αὐτόν». Δηλονότι ὁ βοῦς καθ' ὑμᾶς ἔγνω τὴν οὐσίαν τοῦ κυρίου. Καὶ «Ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ». Ἔγνω οὖν καὶ ὁ ὄνος τῆς φάτνης τὴν οὐσίαν, «Ἰσραὴλ δέ με, φησίν, οὐκ ἔγνω». Τοῦτο ἐγκαλεῖται καθ' ὑμᾶς Ἰσραὴλ ὅτι τὴν οὐσίαν ἥτις ποτέ ἐστι τοῦ Θεοῦ οὐκ ἐπέγνω. «Ἔκ-

2. Α' Κορ. 13, 9.
3. Α' Κορ. 13, 10.
4. Ρωμ. 1, 21.
5. Γαλ. 4, 9.
6. Ἡσ. 1, 3.
7. Ἡσ. 1, 3.

γησες ὅτι γνωρίζεις τὸν Τιμόθεον· δῶσέ μας λοιπὸν μίαν περιγραφὴν τῆς φύσεως τοῦ Τιμοθέου». Ἐγὼ δὲ καὶ γνωρίζω καὶ δὲν γνωρίζω τὸν Τιμόθεον, ἀλλ' ὄχι καὶ εἰς τὰς δύο περιπτώσεις κατὰ τὸν ἴδιον τρόπον καὶ μὲ τὴν ἰδίαν ἔννοιαν. Διότι ὁ τρόπος κατὰ τὸν ὁποῖον τὸν γνωρίζω δὲν εἶναι ὁ ἴδιος μὲ τὸν τρόπον κατὰ τὸν ὁποῖον τὸν ἀγνοῶ, ἀλλ' ἄλλη εἶναι ἡ ἄποψις ἀπὸ τὴν ὁποίαν τὸν γνωρίζω, καὶ ἄλλη ἐκείνη ἀπὸ τὴν ὁποίαν τὸν ἀγνοῶ. Δηλαδὴ κατὰ μὲν τὸν χαρακτῆρα καὶ τὰ ἄλλα ἰδιώματα τὸν γνωρίζω, τὴν δὲ οὐσίαν του ἀγνοῶ· καθ' ὅσον ἄλλωστε τὸν ἴδιον τὸν ἑαυτόν μου ἀπ' αὐτῆς τῆς πλευρᾶς καὶ τὸν γνωρίζω καὶ τὸν ἀγνοῶ. Διότι γνωρίζω μὲν τὸν ἑαυτόν μου ὡς πρὸς τὸ ποῖος εἶμαι, δὲν τὸν γνωρίζω δὲ κατὰ τὸ ὅτι ἀγνοῶ τὴν οὐσίαν μου.

3. Διότι, ἂς μᾶς ἐξηγήσουν μὲ ποίαν ἔννοιαν εἶπεν ὁ Παῦλος, «τώρα μερικῶς γνωρίζομεν» [2]. Ἆρά γε γνωρίζομεν ἐν μέρει τὴν οὐσίαν του, σὰν νὰ γνωρίζωμεν μέρη τῆς οὐσίας του; Ἀλλ' αὐτὸ εἶναι ἄτοπον, διότι ὁ Θεὸς εἶναι ἀμέριστος. Ἀλλὰ μήπως τὴν γνωρίζομεν ὅλην; Τότε πῶς νὰ ἐξηγηθῇ τὸ λεγόμενον, ὅτι «ὅταν ἔλθῃ τὸ τέλειον, τὸ μερικὸν θὰ καταργηθῇ»[3]; Οἱ δὲ εἰδωλολάτραι διατί κατηγοροῦνται; Ὄχι διὰ τὸ ὅτι «ἐνῷ ἐγνώρισαν τὸν Θεόν, δὲν τὸν ἐδόξασαν ὡς Θεόν» [4]; Ἐξ ἄλλου οἱ ἀνόητοι Γαλάται, διατί ἐπιπλήττονται ἀπὸ τὸν Παῦλον, λέγοντα, «νυνὶ δὲ γνόντες τὸν Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ τοῦ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα» [5]; Εἰς δὲ τὴν Ἰουδαίαν πῶς ἦτο ὁ Θεὸς γνωστός; Ἆρά γε ἐπειδὴ εἰς τὴν Ἰουδαίαν εἶχεν ἐπιγνωσθῇ, ποία ἀκριβῶς ἦτο ἡ οὐσία του; Λέγει, «ὁ βοῦς γνωρίζει τὸν κάτοχόν του», λοιπὸν κατὰ τὴν γνώμην σας ὁ βοῦς ἐγνώρισε τὴν οὐσίαν τοῦ κυρίου· «καὶ ὁ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ» [6], λοιπὸν καὶ ὁ ὄνος ἐγνώρισε τὴν οὐσίαν τῆς φάτνης. Καὶ συνεχίζει, «ὁ δὲ Ἰσραὴλ δὲν γνωρίζει ἐμέ» [7]. Διὰ τοῦτο δὲ κατὰ τὴν γνώμην σας κατηγορεῖται ὁ Ἰσραήλ, διὰ τὸ ὅτι δὲν ἀντελήφθη ἀκριβῶς ποία εἶναι ἡ οὐσία τοῦ Θεοῦ. Ἀλλοῦ λέγει, «Χύσε

χεον, φησί, τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τά μὴ γινώσκοντά σε», τουτέστι τὰ τὴν οὐσίαν σου μὴ κατειληφότα. *Ἀλλὰ πολλαχῶς ἡ γνῶσις, ὡς ἔφαμεν· ἥ τε γὰρ τοῦ κτίσαντος ἡμᾶς σύνεσις καὶ ἡ τῶν θαυμασίων αὐτοῦ κατανόησις καὶ ἡ τήρησις τῶν ἐντολῶν καὶ ἡ οἰκείωσις ἡ πρὸς αὐτόν. Οἱ δὲ πάντα ταῦτα παρωσάμενοι ἐπὶ ἓν σημαινόμενον τὴν γνῶσιν ἕλκουσι, τὴν θεωρίαν αὐτῆς τοῦ Θεοῦ τῆς οὐσίας. «Θήσεις, φησίν, ἀπέναντι τῶν μαρτυρίων, ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν». Ἆρα τὸ γνωσθήσομαι ἀντὶ τοῦ τὴν οὐσίαν μου ἐμφανίσω; «Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ». Ἆρα οὖν τῶν μὲν ἑαυτοῦ τὴν οὐσίαν ἔγνω, τῶν δὲ ἀπειθούντων ἀγνοεῖ τὴν οὐσίαν; «Ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ». Ἆρα τὴν οὐσίαν αὐτῆς ἐγνώρισε; Καὶ περὶ τῆς Ῥεβέκκας· «Παρθένος, φησίν, ἀνὴρ οὐκ ἔγνω αὐτήν». Καί· «Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;». Ἆρα Ῥεβέκκας μὲν τὴν οὐσίαν οὐδεὶς ἐπέγνω; Μαρία δὲ τοῦτό φησιν, ὅτι οὐδενὸς ἀνδρὸς ἐνόησα τὴν οὐσίαν; Ἢ τὸ ἔγνω ἐπὶ τῶν γαμικῶν συμπλοκῶν ἔθος τῇ Γραφῇ ὀνομάζειν; Καὶ τὸ γνωσθήσεσθαι τὸν Θεὸν ἀπὸ τοῦ ἱλαστηρίου τουτέστιν ἐμφανισθήσεσθαι τοῖς λατρεύουσι. Καὶ τὸ «Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ», τουτέστιν ἐδέξατο αὐτοὺς διὰ τῶν ἀγαθῶν ἔργων εἰς τὴν πρὸς αὐτὸν οἰκείωσιν.

---

8. Ψαλ. 78, 6.
9. Ἐξ. 25, 21 ἑ.
10. Β' Τιμ. 2, 19.
11. Γεν. 4, 1.
12. Γεν. 24, 16.
13. Λουκ. 1, 34.
14. Β' Τιμ. 2, 19.

τὴν ὀργήν σου ἐναντίον τῶν ἐθνῶν, τὰ ὁποῖα δὲν σὲ γνωρίζουν» [8], δηλαδὴ δὲν γνωρίζουν τὴν οὐσίαν σου.

Ἀλλ' ὅπως εἴπαμεν, ἡ «γνῶσις» εἶναι λέξις πολυσήμαντος· περικλείει καὶ τὴν κατάληψιν τοῦ κτίστου μας καὶ τὴν κατανόησιν τῶν θαυμάτων του καὶ τὴν τήρησιν τῶν ἐντολῶν του καὶ τὴν στενὴν κοινωνίαν μὲ αὐτόν. Ἐκεῖνοι ὅμως, παραγκωνίσαντες ὅλα αὐτά, περιορίζουν τὸν ὅρον «γνῶσις» εἰς μίαν μόνον σημασίαν, τὴν θεωρίαν αὐτῆς ταύτης τῆς οὐσίας τοῦ Θεοῦ.

Ἡ Γραφὴ παραγγέλλει, «τοποθέτησέ τα ἐμπρὸς εἰς τὰ μαρτύρια ὅπου θὰ σοῦ γνωσθῶ» [9]. Ἆρα τὸ «θὰ γνωσθῶ» χρησιμοποιεῖται ἀντὶ τοῦ θὰ φανερώσω τὴν οὐσίαν μου; «Ἔγνω Κύριος τοὺς ἀνήκοντας εἰς αὐτόν» [10]. Ἆρα λοιπὸν τῶν μὲν ἰδικῶν του γνωρίζει τὴν οὐσίαν, τῶν δὲ δυσσεβῶν ἀγνοεῖ τὴν οὐσίαν; «Ἐγνώρισεν ὁ Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ» [11]. Ἆρα τὴν οὐσίαν αὐτῆς ἐγνώρισε; Καὶ διὰ τὴν Ρεβέκκαν λέγει, «παρθένος· ἄνδρας δὲν τὴν ἐγνώρισεν» [12]. Ἐπίσης, «πῶς θὰ συμβῇ τοῦτο, ἀφοῦ δὲν γνωρίζω ἄνδρα;» [13]. Ἆρα κανεὶς δὲν ἐγνώρισε τὴν οὐσίαν τῆς Ρεβέκκας; Ἡ δὲ Μαρία λέγει ἀκριβῶς τοῦτο, ὅτι δηλαδὴ «δὲν ἐννόησα τὴν οὐσίαν κανενὸς ἀνδρός»; Ἢ αὐτὰ λέγονται, διότι τὸ ρῆμα «ἔγνω» συνηθίζει ἡ Γραφὴ νὰ χρησιμοποιῇ πρὸς δήλωσιν τῶν γεννετησίων συμπλοκῶν; Καὶ τὸ ὅτι θὰ γνωσθῇ ὁ Θεὸς ἀπὸ τὸ ἱλαστήριον, σημαίνει ὅτι θὰ ἐμφανισθῇ εἰς τοὺς λατρεύοντας αὐτόν. Καὶ τὸ «ἐγνώρισεν ὁ Κύριος τοὺς ἰδικούς του» [14] σημαίνει ὅτι τοὺς ἐδέχθη εἰς κοινωνίαν λόγῳ τῶν ἀγαθῶν ἔργων των.

23

236. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ

1. Ἐζητημένον ἤδη παρὰ πολλοῖς τὸ εὐαγγελικὸν ῥητὸν περὶ τοῦ ἀγνοεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὴν ἡμέραν τοῦ τέλους καὶ τὴν ὥραν, καὶ μάλιστα συνεχῶς προβαλλόμενον παρὰ τῶν Ἀνομοίων, ἐπὶ καθαιρέσει τῆς δόξης τοῦ Μονογενοῦς εἰς ἀπόδειξιν τοῦ κατὰ τὴν οὐσίαν ἀνομοίου καὶ τῆς κατὰ τὴν ἀξίαν ὑφέσεως, ὡς οὐ δυναμένου οὔτε τὴν αὐτὴν ἔχειν φύσιν οὔτε ἐν ὁμοιότητι μιᾷ νοεῖσθαι τοῦ μὴ πάντα εἰδότος πρὸς τὸν ἐμπεριλαβόντα τὴν εἴδησιν τῶν ὅλων τῇ προγνωστικῇ ἑαυτοῦ καὶ ἐπιβλητικῇ τῶν μελλόντων δυνάμει· τοῦτο νῦν παρὰ τῆς σῆς συνέσεως ἡμῖν ὡς καινὸν προεβλήθη. Ἃ τοίνυν ἐκ παιδὸς παρὰ τῶν πατέρων ἠκούσαμεν καὶ διὰ τὴν πρὸς τὰ καλὰ φιλίαν ἀβασανίστως παρεδεξάμεθα, ταῦτα εἰπεῖν ἔχομεν, τῶν μὲν χριστομάχων τὴν ἀναισχυντίαν οὐ διαλύοντα (τίς γὰρ ἂν καὶ φανείη λόγος τῆς ὁρμῆς αὐτῶν ἰσχυρότερος;), τοῖς δὲ ἀγαπῶσι τὸν Κύριον καὶ τῆς ἐκ τοῦ λόγου ἀποκρίσεως ἰσχυροτέραν τὴν ἐκ πίστεως πρόληψιν κεκτημένοις ἀρκοῦσαν ἴσως παρεχόμενα τὴν πληροφορίαν. Τὸ οὐδεὶς καθολικὸν μὲν εἶναι δοκεῖ ῥῆμα, ὡς μηδὲ ἓν πρόσωπον διὰ τῆς φωνῆς ταύτης ὑπεξῃρῆσθαι. Ἔστι δὲ οὐχ οὕτω παρὰ τῇ Γραφῇ ἀναφε-

---

Ἐπιστολὴ 236. Ἐγράφη καὶ αὐτὴ ἐπίσης τὸν Ἰανουάριον τοῦ 376. Ὁ Ἀμφιλόχιος ἐκφράζει τὴν εὐγνωμοσύνην του πρὸς τὸν Βασίλειον πλὴν ἄλλων τρόπων καὶ μὲ τὴν τακτικήν του νὰ τὸν συμβουλεύεται εἰς κάθε περίπτωσιν. Τώρα λοιπὸν πάλιν τοῦ στέλλει 8 ἐρωτήματα εἰς τὰ ὁποῖα ὁ Βασίλειος ἀπαντᾷ κατὰ σειράν. α) Πῶς ἠμπορεῖ νὰ λέγεται ὅτι ὁ Χριστὸς ἀγνοεῖ τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς δ. παρουσίας, β) περὶ τῆς προρρήσεως τοῦ Ἱερεμίου διὰ τοὺς διαδόχους τοῦ Ἰεχονίου, γ) περὶ τῆς ἀντιπαρατηρήσεως τῶν Ἐγκρατιτῶν, διατί καὶ οἱ Ὀρθόδοξοι ἀποφεύγουν ὡρισμένας τροφάς, δ) περὶ τῆς εἱμαρμένης, ε) περὶ ἀναδύσεως εἰς τὸ βάπτισμα, στ)

23

ΕΠΙΣΤΟΛΗ 236
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

1. Πολλοὶ ἔχουν ἐξετάσει τὸ εὐαγγελικὸν ρητὸν περὶ τοῦ ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀγνοεῖ τὴν ἡμέραν καὶ τὴν ὥραν τοῦ τέλους[1]. Τὸ ρητὸν τοῦτο προβάλλεται συνεχῶς μὲ ἔμφασιν ὑπὸ τῶν Ἀνομοίων μὲ σκοπὸν νὰ καταστρέψουν τὴν δόξαν τοῦ Μονογενοῦς, διὰ ν' ἀποδείξουν τὸ ἀνόμοιον κατὰ τὴν οὐσίαν καὶ τὴν κατωτερότητα κατὰ τὴν ἀξίαν· διότι αὐτὸς ποὺ τάχα δὲν γνωρίζει τὰ πάντα δὲν ἠμπορεῖ οὔτε νὰ ἔχῃ τὴν ἰδίαν φύσιν οὔτε νὰ θεωρηθῇ ὅτι ἔχει πλήρη ὁμοιότητα μὲ τὸν περικλείοντα τὴν γνῶσιν τῶν ὅλων διὰ τῆς προγνωστικῆς καὶ συλληπτικῆς τῶν μελλοντικῶν πραγμάτων δυνάμεώς του. Τοῦτο προεβλήθη εἰς ἡμᾶς ἀπὸ τὴν λογιότητά σου ὡς νέον ἐρώτημα. Ἔχομεν λοιπὸν νὰ εἴπωμεν σχετικῶς ὅσα ἠκούσαμεν ἀπὸ τὴν παιδικὴν ἡλικίαν ἀπὸ τοὺς πατέρας καὶ ἐδέχθημεν χωρὶς ἀντίρρησιν λόγῳ τῆς ἀγάπης πρὸς τὰ καλά, τὰ ὁποῖα βεβαίως τῶν μὲν χριστομάχων δὲν διαλύουν τὴν ἀναισχυντίαν (διότι ποῖον ἐπιχείρημα ἠμπορεῖ νὰ φανῇ ἰσχυρότερον τῆς ὁρμητικότητός των;), ἀλλ' εἰς τοὺς ἀγαπῶντας τὸν Κύριον καὶ κατέχοντας τὴν προβεβαίωσιν τῆς πίστεως ἰσχυροτέραν ἀπὸ τὴν ἀπόδειξιν τῆς λογικῆς προσφέρουν ἴσως ἐπαρκῆ πληροφορίαν.

Δεχόμεθα βεβαίως ὅτι τὸ «οὐδείς» προφανῶς εἶναι γενικὴ ἔκφρασις, ὥστε μὲ αὐτὴν τὴν λέξιν νὰ μὴ ἐξαιρῆται κανὲν πρόσωπον· δὲν συμβαίνει ὅμως τοῦτο, ὅταν χρησιμοποιῆται εἰς τὴν Γραφήν, ὅπως ἔχομεν παρατηρήσει εἰς τὸ χωρίον, «οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς, ὁ Θεός»[2]. Διότι ὁ Υἱός, ὅταν λέγῃ αὐτὰ καὶ

περὶ τοῦ τονισμοῦ τῆς λέξεως «φάγος», ζ) περὶ οὐσίας καὶ ὑποστάσεως, η) περὶ ρυθμίσεως τῶν οὐδετέρων καὶ ἀδιαφόρων πραγμάτων.

1. Ματθ. 24, 36. Μάρκ. 13, 32.

2. Μάρκ. 10, 18.

ρόμενον, ὡς τετηρήκαμεν ἐπὶ τοῦ «Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός». Οὐδὲ γὰρ ἐκεῖ ἑαυτὸν ἔξω τιθεὶς τῆς τοῦ ἀγαθοῦ φύσεως ὁ Υἱὸς ταῦτα λέγει, ἀλλ' ἐπειδὴ πρῶτον ἀγαθὸν ὁ Πατήρ, τὸ οὐδείς, συνεπακουομένου τοῦ πρῶτος, εἰρῆσθαι πιστεύομεν· καὶ τὸ «Οὐδεὶς οἶδε τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ». Οὐδὲ γὰρ ἐκεῖ ἄγνοιαν τοῦ Πνεύματος κατηγορεῖ, ἀλλὰ πρῶτον τῷ Πατρὶ ὑπάρχειν τὴν γνῶσιν τῆς ἑαυτοῦ φύσεως μαρτυρεῖ. Οὕτω καὶ τὸ «Οὐδεὶς οἶδε» τὴν πρώτην εἴδησιν τῶν τε ὄντων καὶ τῶν ἐσομένων ἐπὶ τὸν Πατέρα ἀνάγοντος καὶ διὰ πάντων τὴν πρώτην αἰτίαν τοῖς ἀνθρώποις ὑποδεικνύοντος εἰρῆσθαι νομίζομεν. Ἐπεὶ πῶς ἢ ταῖς λοιπαῖς μαρτυρίαις τῆς Γραφῆς ἀκολουθεῖ τὸ ῥητόν, ἢ ταῖς κοιναῖς ἡμῶν ἐννοίαις συμβαίνειν δύναται τῶν πεπιστευκότων εἰκόνα εἶναι τοῦ Θεοῦ τοῦ ἀοράτου τὸν Μονογενῆ, εἰκόνα δὲ οὐ χαρακτῆρος σωματικοῦ, ἀλλ' αὐτῆς τῆς θεότητος καὶ τῶν ἐπινοουμένων τῇ οὐσίᾳ τοῦ Θεοῦ μεγαλείων, εἰκόνα δυνάμεως, εἰκόνα σοφίας, καθὸ εἴρηται «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»; Μέρος δὲ δηλονότι τῆς σοφίας ἡ γνῶσις, ἣν οὐκ ἐξεικονίζει πᾶσαν, εἴπερ τινῶν ἀπολείπεται. Πῶς δὲ καὶ ὁ Πατήρ, δι' οὗ τοὺς αἰῶνας ἐποίησε, τούτῳ τὸ ἐλάχιστον μέρος τῶν αἰώνων, τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν, οὐκ ἔδειξεν; Ἢ πῶς ὁ τῶν ὅλων ποιητὴς τοῦ ἐλαχίστου μέρους τῶν ὑπ' αὐτοῦ κτισθέντων τῆς γνώσεως ἀπολείπεται; Ὁ δὲ λέγων, πλησίον τοῦ τέλους, τάδε καὶ τάδε ἐν τῷ οὐρανῷ σημεῖα καὶ τοῖς κατὰ γῆν χωρίοις φανήσεσθαι, πῶς αὐτὸ τὸ τέλος ἀγνοεῖ; Ἐν οἷς γὰρ λέγει «Οὔπω τὸ τέλος» οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὡς εἰδὼς διορίζεται. Ἔπειτα μέντοι εὐγνωμόνως σκοποῦντι πολλὰ καὶ ἀπὸ τοῦ ἀνθρωπίνου μέρους ὁ Κύριος διαλέγεται· τὸ

3. Ματθ. 11, 27.
4. Α' Κορ. 1, 24.

ἐκεῖ, δὲν τοποθετεῖ τὸν ἑαυτόν του ἔξω τῆς φύσεως τοῦ ἀγαθοῦ. Ἀλλὰ πιστεύομεν ὅτι, ἐπειδὴ τὸ πρῶτον ἀγαθὸν εἶναι ὁ Πατήρ, τὸ «οὐδεὶς» ἐλέχθη μὲ ἐξυπακουομένην τὴν λέξιν «πρῶτος». Καὶ τὸ «οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ» [3], ὁμοίως. Διότι *οὔτε ἐκεῖ ἐπισημαίνει ἄγνοιαν τοῦ Πνεύματος*, ἀλλὰ μαρτυρεῖ ὅτι ἡ γνῶσις τῆς φύσεώς του ὑπάρχει πρῶτον εἰς τὸν Πατέρα. Οὕτω καὶ τὸ «οὐδεὶς οἶδε» (εἰς τὸ πρῶτον χωρίον) νομίζομεν ὅτι ἔχει χρησιμοποιηθῆ μὲ τὸν σκοπὸν ν' ἀναγάγῃ τὴν πρώτην γνῶσιν τῶν ὄντων καὶ τῶν ἐσομένων εἰς τὸν Πατέρα καὶ νὰ ὑποδείξῃ εἰς τοὺς ἀνθρώπους μὲ κάθε μέσον τὴν πρώτην αἰτίαν. Διότι ἄλλως, πῶς θὰ ἐσυμφωνοῦσε τὸ χωρίον μὲ τὰς λοιπὰς μαρτυρίας τῆς Γραφῆς ἢ θὰ ἠδύνατο νὰ συμβαδίζῃ μὲ τὰς κοινὰς ἐννοίας ἡμῶν οἱ ὁποῖοι πιστεύομεν ὅτι ὁ Μονογενὴς εἶναι εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, ὄχι δὲ εἰκὼν σωματικοῦ χαρακτῆρος, ἀλλ' αὐτῆς ταύτης τῆς θεότητος καὶ τῶν μεγαλειωδῶν ἐνεργειῶν ποὺ ἀποδίδονται εἰς τὴν οὐσίαν τοῦ Θεοῦ, εἰκὼν δυνάμεως, εἰκὼν σοφίας, κατὰ τὸ λεχθέν, «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία» [4]; Εἶναι δὲ φανερὸν ὅτι μέρος τῆς σοφίας εἶναι ἡ γνῶσις, τὴν ὁποίαν οὗτος δὲν θὰ ἐξεικόνιζεν ὁλόκληρον, ἂν ἐστερεῖτο μερικῶν ἀπὸ τὰ γνωρίσματα.

Ἔπειτα ὁ Πατήρ, ὁ ὁποῖος κατεσκεύασε δι' αὐτοῦ τοὺς αἰῶνας, πῶς δὲν ἔδειξεν εἰς αὐτὸν τὸ ἐλάχιστον μέρος τῶν αἰώνων, δηλαδὴ τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν; Ἢ πῶς ὁ ποιητὴς τῶν ὅλων στερεῖται τῆς γνώσεως τοῦ ἐλαχίστου ἐκείνου μέρους τῶν κτισθέντων ὑπ' αὐτοῦ; Καὶ αὐτός, ὁ ὁποῖος λέγει ὅτι ἐγγὺς τοῦ τέλους θὰ φανοῦν τὰ τάδε καὶ τάδε σημεῖα εἰς τὸν οὐρανὸν καὶ εἰς τόπους τῆς γῆς, πῶς ἀγνοεῖ τὸ τέλος αὐτό; Διότι ἐκεῖ ὅπου λέγει «οὔπω τὸ τέλος» [5], ἀποφθέγγεται ὡσὰν νὰ γνωρίζῃ τὰ πράγματα, ὄχι ὡσὰν νὰ ἀμφιβάλλῃ. Ἐπὶ πλέον δέ, ἂν ἐξετάσωμεν τὰ πράγματα μὲ φρόνησιν, ὁ Κύριος λέγει πολλὰ εἰς τοὺς ἀνθρώπους ἐπίσης κατὰ τὸ ἀνθρώπινον στοι-

5. Ματθ. 24, 6.

γὰρ «Δός μοι πιεῖν» φωνή ἐστι τὴν σωματικὴν χρείαν ἐκπληροῦσα. Καίτοι ὁ αἰτῶν οὐχὶ σὰρξ ἦν ἄψυχος, ἀλλὰ θεότης σαρκὶ ἐμψύχῳ κεχρημένη. Οὕτω τοίνυν τὸ τῆς ἀγνοίας ἐπὶ τὸν προκόπτοντα παρὰ Θεῷ καὶ ἀνθρώποις σοφίᾳ καὶ χάριτι λαμβάνων τις οὐκ ἔξω τῆς εὐσεβοῦς ἐνεχθήσεται διανοίας.

2. Τῆς σῆς δ' ἂν εἴη φιλοπονίας ἐκθέσθαι τὰς εὐαγγελικὰς ῥήσεις καὶ συγκρῖναι ἀλλήλαις τήν τε Ματθαίου καὶ Μάρκου. Οὗτοι γὰρ μόνοι συνενεχθέντες περὶ τὸν τόπον τοῦτον ἀλλήλοις φαίνονται. Ἡ μὲν οὖν τοῦ Ματθαίου λέξις οὕτως ἔχει· «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατὴρ μόνος». Ἡ δὲ τοῦ Μάρκου· «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ». Τί τοίνυν ἐστὶν ἐν τούτοις ἐπισημήνασθαι ἄξιον; Ὅτι ὁ μὲν Ματθαῖος οὐδὲν εἶπε περὶ τῆς τοῦ Υἱοῦ ἀγνωσίας, δοκεῖ δὲ τῷ Μάρκῳ συμφέρεσθαι κατὰ τὴν ἔννοιαν ἐκ τοῦ φάναι «Εἰ μὴ ὁ Πατὴρ μόνος». Ἡμεῖς δὲ ἡγούμεθα τὸ μόνος πρὸς τὴν τῶν ἀγγέλων ἀντιδιαστολὴν εἰρῆσθαι, τὸν δὲ Υἱὸν μὴ συμπαραλαμβάνεσθαι τοῖς ἑαυτοῦ δούλοις κατὰ τὴν ἄγνοιαν. Ἀψευδὴς γὰρ ὁ εἰπὼν ὅτι «Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν». Ἔν δὲ ὢν ἔχει καὶ ἡ γνῶσίς ἐστι τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας. Παρασιωπήσας τοίνυν ὡς ὁμολογούμενον τὸ ἑαυτοῦ πρόσωπον ἐν τῇ λέξει τοῦ Ματθαίου ὁ Κύριος τοὺς ἀγγέλους εἶπεν ἀγνοεῖν, εἰ-

---

6. Ἰω. 4, 7.

7. Ὁ Βασίλειος λέγει ἐδῶ ὅτι, ἂν ἀποδώσῃ κανεὶς εἰς τὰ σχετικὰ χωρία τὴν ἔννοιαν ὅτι ἡ ἄγνοια τοῦ Χριστοῦ ἀναφέρεται εἰς τὸ ἀνθρώπινον στοιχεῖόν του, δὲν ἀπομακρύνεται τῆς εὐσεβείας. Παρακάτω ὅμως δίδει τὴν προσωπικήν του ἑρμηνείαν, κατὰ τὴν ὁποίαν ὁ Υἱὸς γνωρίζει τὴν ἡμέραν καὶ τὴν ὥραν τοῦ τέλους, ἀλλὰ τὰ γνωρίζει λαμβάνων τὴν γνῶσιν ἀπὸ τὸν Πατέρα, ὡς αἰτίαν τῶν πάντων.

8. Ματθ. 24, 36.

χεῖόν του. Παραδείγματος χάριν τὸ «δός μου νὰ πίω» [6] εἶναι φωνὴ τοῦ Κυρίου ἀποβλέπουσα εἰς ἱκανοποίησιν τῆς σωματικῆς χρείας, μολονότι ὁ ζητῶν δὲν ἦτο σὰρξ ἄψυχος, ἀλλὰ θεότης περιβεβλημένη ἔμψυχον σάρκα. Οὕτω καὶ εἰς τὴν παροῦσαν περίπτωσιν, ἂν ἐκλάβῃ κανεὶς τὴν ἄγνοιαν ὡς ἀναφερομένην εἰς τὸν καταδεχθέντα τὰ πάντα χάριν τῆς θείας οἰκονομίας καὶ προκόπτοντα εἰς σοφίαν καὶ χάριν πλησίον Θεοῦ καὶ ἀνθρώπων, τότε δὲν θὰ εἶναι μακρὰν ἀπὸ τὴν εὐσεβῆ διανόησιν [7].

2. Θὰ ἤρμοζεν εἰς τὴν φιλοπονίαν σου νὰ παραθέσῃς τὰ εὐαγγελικὰ λόγια καὶ νὰ συγκρίνῃς μεταξύ των τὸ τοῦ Ματθαίου καὶ τὸ τοῦ Μάρκου. Διότι μόνον αὐτοὶ φαίνονται νὰ συμφωνοῦν μεταξύ των εἰς τὸ χωρίον τοῦτο. Λοιπόν, ἡ φράσις τοῦ Ματθαίου ἔχει ὡς ἑξῆς· «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας κανεὶς δὲν γνωρίζει, οὔτε οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰμὴ μόνος ὁ Πατήρ» [8]. Τοῦ δὲ Μάρκου ὡς ἑξῆς· «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας κανεὶς δὲν γνωρίζει οὔτε οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι, οὔτε ὁ Υἱός, εἰμὴ ὁ Πατήρ» [9]. Τί ἀξίζει νὰ ἐπισημανθῇ εἰς αὐτά; Ὅτι ὁ μὲν Ματθαῖος δὲν εἶπε τίποτε περὶ τῆς ἀγνωσίας τοῦ Υἱοῦ, ἀλλὰ φαίνεται νὰ συμφωνῇ κατὰ τὴν ἔννοιαν μὲ τὸν Μᾶρκον μὲ τὸ νὰ λέγῃ, «εἰ μὴ ὁ Πατὴρ μόνος». Ἡμεῖς δὲ ἔχομεν τὴν γνώμην ὅτι τὸ «μόνος» ἔχει λεχθῆ πρὸς ἀντιδιαστολὴν ἀπὸ τοὺς ἀγγέλους καὶ ὅτι ὁ Υἱὸς δὲν συμπεριλαμβάνεται μαζὶ μὲ τοὺς δούλους του κατὰ τὴν ἄγνοιαν [10].

Διότι αὐτὸς ποὺ εἶπεν ὅτι «πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν» [11] εἶναι ἀψευδής. Ἕνα δὲ ἀπὸ τὰ στοιχεῖα ποὺ ἔχει εἶναι καὶ ἡ γνῶσις τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας. Ἑπομένως ὁ Κύριος, εἰς τὴν ρῆσιν τοῦ Ματθαίου, παρασιωπῶν τὸ ἰδικόν του πρόσωπον ὡς ὁμολογούμενον, εἶπεν ὅτι οἱ ἄγγελοι ἀγνο-

9. Μάρκ. 13, 32.

10. Ἐννοεῖ πάντοτε τὴν ἄγνοιαν τῆς ἡμέρας καὶ ὥρας τῆς δευτέρας ἐλεύσεως.

11. Ἰω. 16, 15.

δέναι δὲ τὸν Πατέρα μόνον, τὴν τοῦ Πατρὸς γνῶσιν κατὰ τὸ σιωπώμενον καὶ ἑαυτοῦ εἶναι λέγων, διὰ τὸ καὶ ἐν ἄλλοις εἰρηκέναι· «Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα». Εἰ δὲ γινώσκει ὁ Πατὴρ τὸν Υἱὸν ὅλον δι' ὅλου, ὥστε καὶ τὴν ἐναποκειμένην αὐτῷ σοφίαν πᾶσαν ἐπίστασθαι, κατὰ τὸ ἴσον μέτρον καὶ ἐπιγνωσθήσεται παρὰ τοῦ Υἱοῦ δηλονότι μετὰ πάσης τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας καὶ τῆς προγνώσεως τῶν μελλόντων. Ταύτης μὲν οὖν ἀξιοῦμεν τῆς παραμυθίας τὸ παρὰ τῷ Ματθαίῳ κείμενον· «Εἰ μὴ ὁ Πατὴρ μόνος». Τὸ δὲ Μάρκου, ἐπειδὴ φανερῶς δοκεῖ καὶ τὸν Υἱὸν ἀπομερίζειν τῆς γνώσεως, οὕτω νοοῦμεν ὅτι οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τοῦ Θεοῦ, ἀλλ' οὐδ' ἂν ὁ Υἱὸς ἔγνω, εἰ μὴ ὁ Πατήρ· τουτέστιν ἡ αἰτία τοῦ εἰδέναι τὸν Υἱὸν παρὰ τοῦ Πατρός. Καὶ ἀβίαστός ἐστι τῷ εὐγνωμόνως ἀκούοντι ἡ ἐξήγησις αὕτη, ἐπειδὴ οὐ πρόσκειται τὸ μόνος, ὡς καὶ παρὰ τῷ Ματθαίῳ. Ἔστιν οὖν ὁ νοῦς ὁ παρὰ Μάρκῳ τοιοῦτος· «περὶ δὲ τῆς ἡμέρας ἢ ὥρας οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τοῦ Θεοῦ, ἀλλ' οὐδ' ἂν ὁ Υἱὸς ἔγνω, εἰ μὴ ὁ Πατήρ»· ἐκ γὰρ τοῦ Πατρὸς αὐτῷ ὑπῆρχε δεδομένη ἡ γνῶσις. Τοῦτο δὲ εὐφημότατόν ἐστι καὶ θεοπρεπὲς περὶ τοῦ Υἱοῦ λέγειν, ὅτι οὗπερ ἐστὶν ὁμοούσιος, ἐξ αὐτοῦ καὶ τὸ γινώσκειν ἔχει καὶ τὸ ἐν πάσῃ σοφίᾳ καὶ δόξῃ τῇ πρεπούσῃ αὐτοῦ τῇ θεότητι θεωρεῖσθαι.

3. Περὶ δὲ τοῦ Ἰεχονίου ὃν ἐκκήρυκτον ἀπὸ τῆς Ἰουδαίας γῆς γεγενῆσθαί φησιν ὁ προφήτης Ἱερεμίας εἰπών, «Ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος οὗ οὐκ ἔστιν αὐτοῦ χρεία, καὶ ὅτι ἀπερρίφη αὐτὸς καὶ τὸ σπέρμα αὐτοῦ, καὶ οὐ μὴ ἀναστῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ τοῦ θρόνου Δαβίδ, ἄρχων ἐν τῷ Ἰούδᾳ». σαφὴς καὶ ἁπλοῦς ἐστιν ὁ λόγος. Καθαιρεθείσης γὰρ τῆς Ἱερου-

12. Ἰω. 10, 15.
13. Ἱερ. 22, 28 – 30.

οὖν καὶ μόνον ὁ Πατὴρ γνωρίζει, ἐξυπονοῶν μὲ τὴν σιωπὴν ὅτι ἡ γνῶσις τοῦ Πατρὸς εἶναι καὶ ἰδική του, διότι καὶ εἰς ἄλλα σημεῖα ἔχει εἴπει, «καθὼς γνωρίζει ἐμὲ ὁ Πατήρ, καὶ ἐγὼ γνωρίζω τὸν Πατέρα» [12]. Ἐὰν δὲ ὁ Πατὴρ γνωρίζῃ τὸν Υἱὸν ὁλόκληρον καὶ πλήρως, ὥστε νὰ κατανοῇ καὶ ὅλην τὴν σοφίαν ποὺ κατοικεῖ εἰς αὐτόν, εἶναι φανερὸν ὅτι κατὰ τὸ ἴσον μέτρον καὶ θὰ ἐπιγνωσθῇ ὑπὸ τοῦ Υἱοῦ, μαζὶ μὲ ὅλην τὴν ἐνυπάρχουσαν εἰς αὐτὸν σοφίαν καὶ πρόγνωσιν τῶν μελλόντων. Τοιαύτην λοιπὸν ἑρμηνείαν δίδομεν εἰς τὸ κείμενον τοῦ Ματθαίου, «εἰ μὴ ὁ Πατὴρ μόνος».

Τὸ δὲ κείμενον τοῦ Μάρκου, ἐπειδὴ αὐτὸ φαίνεται νὰ ἀποκλείῃ σαφῶς καὶ τὸν Υἱὸν ἀπὸ τὴν γνῶσιν, ἐκλαμβάνομεν ὑπὸ τὴν ἐξῆς ἔννοιαν· ὅτι δηλαδὴ κανεὶς δὲν γνωρίζει, οὔτε οἱ ἄγγελοι τοῦ Θεοῦ, ἀλλ' οὔτε ὁ Υἱὸς θὰ ἐγνώριζεν, ἐὰν δὲν εἶχε γνωρίσει ὁ Πατήρ· δηλαδὴ ἡ αἰτία τοῦ ὅτι ὁ Υἱὸς γνωρίζει προέρχεται ἀπὸ τὸν Πατέρα. Αὐτὴ δὲ ἡ ἐξήγησις διὰ τὸν ἀκούοντα μὲ ὀρθοφροσύνην εἶναι ἀβίαστος, ἐπειδὴ δὲν ἀπαντᾷ ἐδῶ τὸ «μόνος», ὅπως συμβαίνει εἰς τὸν Ματθαῖον. Ἡ ἔννοια δὲ τοῦ χωρίου τοῦ Μάρκου εἶναι ἡ κατωτέρω· ὡς πρὸς τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν δὲν γνωρίζει κανείς, οὔτε οἱ ἄγγελοι τοῦ Θεοῦ, ἀκόμη δὲ οὔτε ὁ Υἱὸς θὰ ἐγνώριζεν, ἐὰν δὲν ἐγνώριζεν ἤδη ὁ Πατήρ· διότι ἀπὸ τὸν Πατέρα εἶχε δοθῇ εἰς αὐτὸν ἡ γνῶσις ἤδη ἐξ ἀρχῆς. Εἶναι δὲ εὐλογώτατον καὶ θεοπρεπὲς νὰ λέγεται περὶ τοῦ Υἱοῦ τοῦτο, ὅτι ἔχει καὶ τὴν ἱκανότητα γνώσεως καὶ τὸν στολισμὸν μὲ ὅλην τὴν σοφίαν καὶ δόξαν ποὺ ταιριάζει εἰς τὴν θεότητά του ἀπὸ ἐκεῖνον τοῦ ὁποίου εἶναι ὁμοούσιος.

3. Ὡς πρὸς δὲ τὸν Ἰεχονίαν, διὰ τὸν ὁποῖον ὁ προφήτης Ἱερεμίας λέγει ὅτι εἶχεν ἐξορισθῇ ἀπὸ τὴν Ἰουδαϊκὴν γῆν μὲ τὰ ἑξῆς λόγια, «ἠτιμάσθη ὁ Ἰεχονίας ὡσὰν σκεῦος ποὺ εἶναι ἄχρηστον πλέον, καὶ ἀπερρίφθη αὐτὸς καὶ τὸ σπέρμα αὐτοῦ καὶ δὲν θὰ ἀναστῇ ἐκ τοῦ σπέρματος αὐτοῦ ἄνθρωπος ποὺ θὰ καθίσῃ εἰς τὸν θρόνον Δαβίδ, ἡγεμὼν εἰς τὸν Ἰούδαν» [13], ὁ λόγος εἶναι ἁπλοῦς καὶ σαφής. Διότι, ὅταν ἡ Ἱερουσαλὴμ εἶχε

σαλὴμ ὑπὸ Ναβουχοδονόσορ λέλυτο μὲν τὰ βασίλεια, οὐκέτι δὲ πατρικαὶ διαδοχαὶ τῶν ἡγεμονιῶν ἦσαν, ὥσπερ καὶ τὸ πρότερον, ἀλλὰ τότε μὲν ἐξ ἀρχῆς ἐπὶ τῆς αἰχμαλωσίας διῆγον οἱ ἀπόγονοι τοῦ Δαβίδ. Ἐπανελθόντες δὲ οἱ περὶ τὸν Σαλαθιὴλ καὶ Ζοροβάβελ δημοτικώτερον καθηγοῦντο τοῦ λαοῦ, τῆς ἀρχῆς λοιπὸν ἐπὶ τὴν ἱερωσύνην μεταπεσούσης διὰ τὸ ἀναμιγῆναι τὴν ἱερατικὴν καὶ βασιλικὴν φυλήν. Ὅθεν καὶ ὁ Κύριος καὶ βασιλεύς ἐστι καὶ ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν. Καὶ οὐκ ἐξέλιπε μὲν ἡ βασιλικὴ φυλὴ μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας· οὐ μὴν ἔτι ἐκάθισεν ἐπὶ θρόνου τοῦ Δαβὶδ τὸ σπέρμα Ἰεχονίου. Θρόνος γὰρ δηλονότι λέγεται τὸ βασιλικὸν ἀξίωμα. Πάντως δὲ τῆς ἱστορίας μέμνησαι, ὅτι ὑπόφορος μὲν ἦν τῷ Δαβὶδ πᾶσα ἡ Ἰουδαία καὶ ἡ Ἰδουμαία χώρα καὶ ἡ Μωαβῖτις καὶ τῆς Συρίας ὅσα τε πρόσχωρα καὶ τὰ πορρωτέρω μέχρι τῆς Μέσης τῶν ποταμῶν, καὶ καθ' ἕτερον μέρος ἕως ποταμοῦ Αἰγύπτου. Εἰ οὖν οὐδεὶς ἐφάνη ἐπὶ τοσούτου ἀξιώματος, τῶν μετὰ ταῦτα, πῶς οὐκ ἀληθὴς ὁ τοῦ προφήτου λόγος, ὅτι οὐκ ἔτι καθιεῖται ἐπὶ τοῦ θρόνου Δαβὶδ ἐκ τοῦ σπέρματος Ἰεχονίου; Οὐδεὶς γὰρ φαίνεται τῆς ἀξίας ταύτης ἐπειλημμένος ἐξ αὐτοῦ. Οὐ μέντοι ἐξέλιπεν ἡ τοῦ Ἰούδα φυλὴ ἕως οὗ ἦλθεν ᾧ ἀπέκειτο, ὃς οὐδὲ αὐτὸς ἐκαθέσθη ἐπὶ τοῦ σωματικοῦ θρόνου, μεταπεσούσης λοιπὸν τῆς Ἰουδαϊκῆς βασιλείας ἐπὶ τὸν υἱὸν τοῦ Ἀσκαλωνίτου Ἀντιπάτρου Ἡρώδην καὶ τοὺς ἐκείνου παῖδας, οἳ εἰς τέσσαρας ἀρχὰς κατενείμαντο τὴν Ἰουδαίαν, ἡγεμονεύοντος μὲν Πιλάτου, τὸ δὲ σύμπαν τῆς ῥωμαϊκῆς ἀρχῆς κράτος ἔχοντος Τιβερίου. Ἀλλὰ θρόνον λέγει Δαβίδ, ἐφ' ὃν ὁ Κύριος ἐκάθισε, τὴν ἀκαθαίρετον βασιλείαν. «Αὐτὸς γάρ ἐστι προσδοκία ἐθνῶν», οὐχὶ τοῦ ἐλαχίστου μέρους τῆς οἰκουμένης. «Ἔσται γάρ, φησίν, ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔ-

14. Βλ. τὰ γεγονότα ταῦτα εἰς τὰ βιβλία Β' Παραλειπομένων, κεφ. 36 καὶ Δ' Βασιλειῶν, κεφ. 23· 24 καὶ 25.

15. Βλ. Α' Ἔσδρα 5, 47.

16. Ἑβρ. 5, 10.

17. Τὸ τελευταῖον τοῦτο δὲν εἶναι ἀκριβές.

18. Γεν. 49, 10.

καταστραφῆ ἐπὶ Ναβουχοδονόσορος, τὸ βασίλειον διελύθη, δὲν ὑπῆρχαν δέ, ὅπως πρίν, κληρονομικαὶ διαδοχαὶ τῆς ἡγεμονικῆς ἐξουσίας. Τότε δὲ μάλιστα οἱ ἀπόγονοι τοῦ Δαβίδ, ἀπολέσαντες τὴν ἀρχὴν ἔζοῦσαν εἰς τὴν αἰχμαλωσίαν [14]. Οἱ δὲ Σαλαθιὴλ καὶ Ζοροβάβελ ἐπανελθόντες μαζὶ μὲ τοὺς συντρόφους των ἐκυβερνοῦσαν δημοκρατικώτερα τὸν λαόν, ἔκτοτε δὲ ἡ ἐξουσία μετέπεσεν εἰς τὴν ἀρχιερωσύνην, διότι ἀνεμίχθησαν ἡ ἱερατικὴ καὶ ἡ βασιλικὴ φυλή [15]. Ὅθεν ὁ Κύριος ἦτο καὶ βασιλεὺς καὶ ἀρχιερεὺς ἐνώπιον τοῦ Θεοῦ [16]. Καὶ δὲν ἐξέλιπε μὲν ἡ βασιλικὴ φυλὴ μέχρι τῆς ἐμφανίσεως τοῦ Χριστοῦ, ἀλλ' ἡ γενεὰ τοῦ Ἰεχονίου δὲν ἐκάθισε πάλιν ἐπὶ τοῦ θρόνου τοῦ Δαβίδ. Διότι μὲ τὴν λέξιν «θρόνος» ἐννοεῖται τὸ βασιλικὸν ἀξίωμα. Ἀσφαλῶς δὲ ἐνθυμεῖσαι τὴν ἱστορίαν περὶ τοῦ ὅτι ὁ μὲν Δαβὶδ ἐξουσίαζεν ὅλην τὴν Ἰουδαίαν καὶ τὴν Ἰδουμαίαν χώραν καὶ τὴν Μωαβῖτιν καὶ ἀπὸ τὴν Συρίαν τὰ γειτονικὰ μέρη καὶ τὰ παραπέρα μέχρι τῆς Μεσοποταμίας, ἀπὸ τὴν ἄλλην δὲ κατεύθυνσιν μέχρι τοῦ ποταμοῦ τῆς Αἰγύπτου [17]. Ἐὰν λοιπὸν κανεὶς ἀπόγονός του δὲν ἐνεφανίσθη μὲ τόσην ἐξουσίαν, πῶς δὲν εἶναι ἀληθινὸς ὁ λόγος τοῦ προφήτου, ὅτι κανεὶς πλέον ἀπὸ τὴν γενεὰν τοῦ Ἰεχονίου δὲν θὰ καθίσῃ ἐπὶ τοῦ θρόνου τοῦ Δαβίδ; Διότι κανεὶς ἀπὸ τοὺς διαδόχους τούτου δὲν φαίνεται νὰ ἔχῃ ἀποκτήσει αὐτὴν τὴν ἐξουσίαν. Ἀλλὰ βέβαια δὲν ἐξέλιπεν ἡ φυλὴ τοῦ Ἰούδα, ἕως ὅτου ἦλθεν αὐτὸς διὰ τὸν ὁποῖον ἐπεφυλάσσετο καὶ ὁ ὁποῖος ἄλλωστε οὔτε αὐτὸς ἐκάθισεν ἐπὶ τοῦ σωματικοῦ θρόνου, ἀφοῦ τότε ἡ Ἰουδαϊκὴ βασιλεία εἶχε περιέλθει εἰς χεῖρας τοῦ Ἡρώδου, υἱοῦ τοῦ Ἀσκαλωνίτου Ἀντιπάτρου, καὶ τῶν παιδιῶν του, τὰ ὁποῖα εἶχαν διαμοιράσει τὴν Ἰουδαίαν εἰς τέσσαρας περιφερείας, ἐνῷ ἡγεμόνευεν ὁ Πιλᾶτος, τὸ δὲ σύνολον τῆς ρωμαϊκῆς αὐτοκρατορίας ἐξουσίαζεν ὁ Τιβέριος.

Ἀπὸ ἄλλης δὲ ἀπόψεως θρόνον τοῦ Δαβίδ, ἐπὶ τοῦ ὁποίου ἐκάθισεν ὁ Κύριος, λέγει ἡ Γραφὴ τὴν ἀκαθαίρετον βασιλείαν. Διότι αὐτὸς «εἶναι προσδοκία τῶν ἐθνῶν» [18], ὄχι τοῦ ἐλαχίστου μέρους τῆς οἰκουμένης. Διότι λέγει, «θὰ εἶναι ἡ ρίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος εἰς τὸ νὰ ἄρχῃ ἐθνῶν· εἰς αὐτὸν θὰ ἐλπίσουν

θνη ἐλπιοῦσι. Τέθεικα γάρ σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν. Καὶ θήσομαι, φησίν, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ». Οὕτως οὖν καὶ ἱερεὺς διέμεινεν, εἰ καὶ μὴ τὰ σκῆπτρα τῆς Ἰουδαίας παρέλαβε, καὶ βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, καὶ ἡ εὐλογία τοῦ Ἰακὼβ ἐβεβαιώθη· «Καὶ ἐνευλογηθήσονται τῷ σπέρματι αὐτοῦ πᾶσαι αἱ φυλαὶ τῆς γῆς», καὶ πάντα τὰ ἔθνη μακαριοῦσι τὸν Χριστόν.

4. Τοῖς δὲ κομψοῖς Ἐγκρατίταις πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διὰ τί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνο λεγέσθω ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. Κατὰ μὲν γὰρ τὴν ἀξίαν λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα, κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν, οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν, ἐπεὶ λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο μὴ μεγάλης ἀνάγκης κατεπειγούσης, ὡς ὅγε φαγὼν οὐκ ἠνόμησε.

5. Πρὸς δὲ τοὺς λέγοντας καθ' εἱμαρμένην διοικεῖσθαι τὰ ἀνθρώπινα μὴ παρ' ἡμῶν ζήτει λόγους, ἀλλὰ ταῖς οἰκείαις τῆς ῥητορικῆς ἀκίσιν αὐτοὺς κατατίτρωσκε· μακρότερον γάρ ἐστι τὸ πρόβλημα τῆς παρούσης μοι ἀσθενείας. Περὶ δὲ τῆς ἐν τῷ βαπτίσματι ἀνανεύσεως οὐκ οἶδα τί ἐπῆλθέ σοι ἐρωτῆσαι, εἴπερ ἐδέξω τὴν κατάδυσιν τὸν τύπον τῶν τριῶν ἡμερῶν ἐκπληροῦν. Βαπτισθῆναι γὰρ τρισσάκις ἀδύνατον μὴ ἀναδύντα τοσαυτάκις. Τὸν δὲ φάγον παροξυτονοῦμεν ἡμεῖς.

6. Οὐσία δὲ καὶ ὑπόστασις ταύτην ἔχει τὴν διαφορὰν ἣν

---

19. Ἡσ. 11, 10.
20. Ἡσ. 42, 6.
21. Ψαλμ. 88, 30.
22. Γεν. 22, 18.
23. Οἱ Ἐγκρατῖται ἀποτελοῦσαν αὐστηρὰν χριστιανικὴν ὁμάδα, ἡ ὁποία μὲ τὰς ἀκρότητάς της βαθμιαίως κατήντησεν εἰς αἵρεσιν. Ἀπέφευγαν τὴν βρῶσιν κρέατος, τὴν πόσιν οἴνου καὶ τὴν σύναψιν γάμου.

τὰ ἔθνη» [19]· «διότι σὲ ἔχω θέσει εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν» [20]. Ἄλλοῦ δὲ λέγει· «καὶ θὰ θέσω εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ» [21]. Οὕτω λοιπὸν ὁ Θεὸς καὶ ἱερεὺς παρέμεινε καὶ βασιλεὺς ὅλης τῆς γῆς, ἂν καὶ δὲν παρέλαβε τὰ σκῆπτρα τῆς Ἰουδαίας, καὶ ἡ εὐλογία τοῦ Ἰακὼβ ἐπεβεβαιώθη· «καὶ θὰ εὐλογηθοῦν διὰ τοῦ σπέρματος αὐτοῦ ὅλαι αἱ φυλαὶ τῆς γῆς» [22], καὶ ὅλα τὰ ἔθνη θὰ εὐλογήσουν τὸν Χριστόν.

4. Πρὸς δὲ τοὺς περιτέχνους Ἐγκρατίτας [23], εἰς ἀπάντησιν πρὸς τὸ σπουδαῖον ἐρώτημά των, «διατί δὲν τρώγομεν καὶ ἡμεῖς τὰ πάντα», ἂς λεχθῇ ἐκεῖνο, ὅτι καὶ τὰ περιττώματα τὰ βδελυσσόμεθα. Διότι ἀπὸ ἀπόψεως μὲν δαπάνης, δι' ἡμᾶς κρέας εἶναι τὰ λάχανα τοῦ ἀγροῦ· κατὰ δὲ τὴν διάκρισιν τῆς ὠφελιμότητος, ὅπως ἀνάμεσα εἰς τὰ λάχανα χωρίζομεν τὸ βλαβερὸν ἀπὸ τὸ κατάλληλον, οὕτω καὶ ἀνάμεσα εἰς τὰ κρέατα διακρίνομεν τὸ χρήσιμον ἀπὸ τὸ βλαβερόν. Διότι βέβαια λάχανον εἶναι καὶ τὸ κώνειον, ὅπως κρέας εἶναι καὶ τὸ τῶν ὀρνέων· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον θὰ ἔτρωγε κανεὶς μυαλωμένος οὔτε κρέας σκύλου θὰ ἤγγιζεν, ἂν δὲν ἐπιέζετο ἀπὸ μεγάλην ἀνάγκην· διότι βέβαια καὶ ὅποιος τυχὸν ἔφαγεν ἀπὸ αὐτό, δὲν παρεβίασε τὸν νόμον.

5. Διὰ τοὺς λέγοντας ὅτι τὰ ἀνθρώπινα διοικοῦνται ἀπὸ τὴν μοῖραν, μὴ ζητῇς ἀπὸ ἡμᾶς ἐπιχειρήματα, ἀλλὰ τραυμάτιζέ τους μὲ τὰς λόγχας τῆς ἰδικῆς σου ρητορικῆς· διότι τὸ πρόβλημα εἶναι πολὺ σοβαρώτερον ἀπὸ ὅσον ἐπιτρέπει νὰ τὸ ἐξετάσω ἡ παροῦσα ἀσθένειά μου.

Ὡς πρὸς δὲ τὴν ἀνάδυσιν κατὰ τὸ βάπτισμα, δὲν καταλαβαίνω πῶς σοῦ ἦλθε νὰ ἐρωτήσῃς, ἐὰν ἔχῃς παραδεχθῇ ὅτι ἡ κατάδυσις ἐκπληρώνει τὸν τύπον τῶν τριῶν ἡμερῶν. Διότι εἶναι ἀδύνατον νὰ ἐμβαπτισθῇ κανεὶς τρεῖς φοράς, χωρὶς νὰ ἀναδυθῇ ἄλλας τόσας.

Τὴν δὲ λέξιν «φάγος» ἡμεῖς τονίζομεν εἰς τὴν παραλήγουσαν μὲ ὀξεῖαν.

6. Οὐσία δὲ καὶ ὑπόστασις ἔχουν τὴν ἰδίαν διαφορὰν

ἔχει τὸ κοινὸν πρὸς τὸ καθ' ἕκαστον, οἷον ὡς ἔχει τὸ ζῷον πρὸς τὸν δεῖνα ἄνθρωπον. Διὰ τοῦτο οὐσίαν μὲν μίαν ἐπὶ τῆς θεότητος ὁμολογοῦμεν, ὥστε τὸν τοῦ εἶναι λόγον μὴ διαφόρως ἀποδιδόναι· ὑπόστασιν δὲ ἰδιάζουσαν, ἵν' ἀσύγχυτος ἡμῖν καὶ τετρανωμένη ἡ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἔννοια ἐνυπάρχῃ. Μὴ γὰρ νοούντων ἡμῶν τοὺς ἀφωρισμένους περὶ ἕκαστον χαρακτῆρας, οἷον πατρότητα καὶ υἱότητα καὶ ἁγιασμόν, ἀλλ' ἐκ τῆς κοινῆς ἐννοίας τοῦ εἶναι ὁμολογούντων Θεόν, ἀμήχανον ὑγιῶς τὸν λόγον τῆς πίστεως ἀποδίδοσθαι. Χρὴ οὖν τῷ κοινῷ τὸ ἰδιάζον προστιθέντας, οὕτω τὴν πίστιν ὁμολογεῖν· κοινὸν ἡ θεότης, ἴδιον ἡ πατρότης· συνάπτοντας λέγειν, πιστεύω εἰς Θεὸν Πατέρα. Καὶ πάλιν ἐν τῇ τοῦ Υἱοῦ ὁμολογίᾳ τὸ παραπλήσιον ποιεῖν, τῷ κοινῷ συνάπτειν τὸ ἴδιον καὶ λέγειν, εἰς Θεὸν Υἱόν. Ὁμοίως καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου κατὰ τὸ ἀκόλουθον τῆς ἐκφωνήσεως τὴν προφορὰν σχηματίζοντας λέγειν, πιστεύω καὶ εἰς τὸ θεῖον Πνεῦμα τὸ Ἅγιον, ὥστε δι' ὅλου καὶ τὴν ἑνότητα σῴζεσθαι ἐν τῇ τῆς μιᾶς θεότητος ὁμολογίᾳ, καὶ τὸ τῶν προσώπων ἰδιάζον ὁμολογεῖσθαι ἐν τῷ ἀφορισμῷ τῶν περὶ ἕκαστον νοουμένων ἰδιωμάτων. Οἱ δὲ ταὐτὸν λέγοντες οὐσίαν καὶ ὑπόστασιν ἀναγκάζονται πρόσωπα μόνον ὁμολογεῖν διάφορα, καὶ ἐν τῷ περιίστασθαι λέγειν τρεῖς ὑποστάσεις εὑρίσκονται μὴ φεύγοντες τὸ τοῦ Σαβελλίου κακόν, ὃς καὶ αὐτὸς πολλαχοῦ συγχέων τὴν ἔννοιαν ἐπιχειρεῖ διαιρεῖν τὰ πρόσωπα, τὴν αὐτὴν ὑπόστασιν λέγων πρὸς τὴν ἑκάστοτε παρεμπίπτουσαν χρείαν μετασχηματίζεσθαι.

7. Καὶ περὶ ὧν ἠρώτησας, πῶς τὰ μέσα καὶ τὰ διάφορα περὶ

---

24. Ὁ Σαβέλλιος ἐξελάμβανε τὸν Θεὸν μοναρχικῶς, ὡς ἑνιαῖον καὶ κατὰ τὴν οὐσίαν καὶ κατὰ τὴν ὑπόστασιν, τὰ δὲ τρία πρόσωπα, τοῦ Πατρὸς τοῦ Υἱοῦ τοῦ Πνεύματος, ἐθεωροῦσεν ὡς τρεῖς τρόπους ἐμφανίσεως τῆς μιᾶς ὑποστάσεως, μετασχηματιζομένης κατὰ περιστάσεις.

ποὺ ἔχει τὸ κοινὸν πρὸς τὸ ἐπὶ μέρους· παραδείγματος χάριν, ποὺ ἔχει τὸ ζῶον ἄνθρωπος πρὸς τὸν τάδε ἄνθρωπον. Διὰ τοῦτο εἰς τὴν θεότητα ὁμολογοῦμεν οὐσίαν μὲν μίαν, οὕτως ὥστε ὁ ὁρισμὸς τῆς ὑπάρξεώς της νὰ μὴ διαφοροποιῆται, ὑπόστασιν δὲ χωριστὴν κατὰ πρόσωπα, διὰ νὰ ἐνυπάρχῃ εἰς ἡμᾶς ἀσύγχυτος καὶ καθαρὰ ἡ ἔννοια περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Διότι εἶναι ἀδύνατον νὰ διατυπωθῇ ὀρθῶς ὁ ὁρισμὸς τῆς πίστεως, ἐὰν δὲν ἔχωμεν κατὰ νοῦν τὰ διακεκριμένα διὰ τὸ καθένα χαρακτηριστικά, δηλαδὴ τὴν πατρότητα καὶ τὴν υἱότητα καὶ τὸν ἁγιασμόν, ἀλλ' ὁμολογοῦμεν τὸν Θεὸν βάσει τῆς κοινῆς ἐννοίας τοῦ εἶναι. Πρέπει λοιπὸν νὰ ὁμολογοῦμεν τὴν πίστιν ἡμῶν, προσθέτοντες τὸ ἰδιαίτερον εἰς τὸ κοινόν. Κοινὸν εἶναι ἡ θεότης, ἰδιαίτερον ἡ πατρότης, συνδέοντες δὲ αὐτά, ἠμποροῦμεν νὰ λέγωμεν, «πιστεύω εἰς Θεὸν Πατέρα». Νὰ κάμωμεν δὲ πάλιν κάτι παρόμοιον κατὰ τὴν ὁμολογίαν πίστεως εἰς τὸν Υἱόν, νὰ συνάπτωμεν δηλαδὴ εἰς τὸ κοινὸν τὸ ἰδιαίτερον καὶ νὰ λέγωμεν, «Πιστεύω εἰς Θεὸν Υἱόν». Παρομοίως καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἁγίου Πνεύματος πρέπει νὰ σχηματίσωμεν τὴν εἰς αὐτὸ ἀναφερομενην διατύπωσιν σύμφωνα μὲ τὰ ἀνωτέρω καὶ νὰ λέγωμεν «πιστεύω καὶ εἰς τὸ θεῖον Πνεῦμα τὸ Ἅγιον», ὥστε καθ' ὅλην τὴν ἔκτασιν καὶ ἡ ἑνότης νὰ σώζεται μὲ τὴν ὁμολογίαν τῆς μιᾶς θεότητος καὶ τὸ ἰδιαίτερον τῶν προσώπων νὰ ὁμολογῆται μὲ τὸν διαχωρισμὸν τῶν ἰδιωμάτων ποὺ ἀποδίδονται εἰς τὸ καθένα. Ὅσοι δὲ ταυτίζουν οὐσίαν καὶ ὑπόστασιν, ἀναγκάζονται νὰ ὁμολογήσουν διάφορα μόνον τὰ πρόσωπα καί, ἐπειδὴ διστάζουν νὰ κάμουν λόγον περὶ τριῶν ὑποστάσεων, δὲν κατορθώνουν ν' ἀποφύγουν τὸ κακὸν τοῦ Σαβελλίου, ὁ ὁποῖος ἐπίσης, ἂν καὶ εἰς πολλὰ σημεῖα συγχέει τὰς ἐννοίας, ἐπιχειρεῖ νὰ διακρίνῃ τὰ πρόσωπα μὲ βάσιν τὴν ἀρχὴν ὅτι ἡ ἰδία ὑπόστασις μετασχηματίζεται σύμφωνα μὲ τὴν ἑκάστοτε παρεμβαλλομένην ἀνάγκην [24].

7. Σχετικῶς τέλος μὲ τὴν ἐρώτησίν σου περὶ τοῦ πῶς ρυθμίζονται δι' ἡμᾶς αἱ μέσαι καὶ ἀδιάφοροι καταστάσεις, κατὰ

ἡμᾶς οἰκονομεῖται, εἴτε συντυχίᾳ τινὶ αὐτομάτῳ, εἴτε ἐπὶ δικαίᾳ τοῦ Θεοῦ προνοίᾳ, ἐκεῖνό φαμεν ὅτι ὑγίεια καὶ νόσος, πλοῦτος καὶ πενία, δόξα καὶ ἀτιμία, καθὸ μὲν οὐ ποιεῖ τοὺς ἔχοντας ἀγαθοὺς οὐκ ἔστι τῶν κατὰ φύσιν ἀγαθῶν, καθὸ δὲ εὔροιάν τινα παρέχεται τῷ βίῳ αἱρετώτερά ἐστι τῶν ἐναντίων τὰ προηγούμενα καὶ ἔχει τινὰ ἀξίαν λεγόμενα. Ταῦτα μέντοι τοῖς μὲν οἰκονομίας ἕνεκεν δίδοται παρὰ τοῦ Θεοῦ, ὡς τῷ Ἀβραὰμ καὶ τῷ Ἰὼβ καὶ τοῖς τοιούτοις. Τοῖς δὲ φαυλοτέροις πρόκλησις τοῦ βελτιωθῆναι κατὰ τὸν τρόπον, ὡς ὅγε μετὰ τοσαύτην παρὰ Θεοῦ δεξίωσιν ἐπιμένων τῇ ἀδικίᾳ ἀναντιρρήτως ἑαυτὸν ὑπόδικον τῇ κατακρίσει καθίστησιν. Ὁ μέντοι δίκαιος οὔτε παρόντος ἐπιστρέφεται τοῦ πλούτου οὔτε μὴ παρόντα ἐπιζητεῖ· οὐ γὰρ ἀπολαυστικός ἐστι τῶν δεδομένων, ἀλλ' οἰκονομικός. Οὐδεὶς δὲ τῶν νοῦν ἐχόντων ἐπιτρέχει τῇ ἀσχολίᾳ τῆς τῶν ἀλλοτρίων διανομῆς, ἐὰν μὴ πρὸς τὴν τῶν πολλῶν ἀποβλέπῃ δόξαν, οἳ θαυμάζουσι καὶ ζηλοῦσι τοὺς ἐν ἐξουσίᾳ τινὶ καθεστῶτας. Τὴν δὲ νόσον ὡς ἄθλησιν οἱ δίκαιοι δέχονται, μεγάλους ἐπὶ τῇ ὑπομονῇ ἀναμένοντες τοὺς στεφάνους. Ἄλλον δέ τινα ἐφιστᾶν τῇ διοικήσει τούτων οὐκ ἀπεμφαῖνον, ἀλλ' ἀσεβές.

24

248. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Ὅταν μὲν πρὸς τὴν ἡμετέραν αὐτῶν ἐπιθυμίαν ἀπίδωμεν, ἀχθόμεθα τοσοῦτον διῳκισμένοι τῆς εὐλαβείας σου· ὅταν δὲ πρὸς

Ἐπιστολὴ 248. Ἐγράφη τὸ 376, ὁπότε ὁ διωγμὸς τῶν Ὀρθοδόξων ὑπὸ τῶν Ἀρειανῶν εὑρίσκετο εἰς μεγάλην ἔντασιν.

αὐτόματον τύχην ἢ κατὰ δικαίαν πρόνοιαν τοῦ Θεοῦ, λέγομεν τοῦτο· ὅτι ὑγεία καὶ νόσος, πλοῦτος καὶ πενία, δόξα καὶ ἀτιμία, ὡς πρὸς μὲν τὸ ὅτι δὲν καθιστοῦν ἀγαθοὺς τοὺς κατόχους των, δὲν ἀνήκουν εἰς τὰ φυσικὰ ἀγαθά· ὡς πρὸς τὸ ὅτι δὲ παρέχουν κάποιαν ἄνεσιν εἰς τὸν βίον μας, προτιμότεραι εἶναι ἐκεῖναι ποὺ ἀναφέρονται πρῶται εἰς τὰ ἀντιθετικὰ ζεύγη καὶ αὐταὶ ἔχουν κάποιαν ἀξίαν ποὺ εἶναι ὀρθὸν νὰ μνημονεύεται.

Ἀλλὰ βεβαίως ταῦτα δίδονται εἰς ἄλλους μὲν πρὸς διαχείρισιν, ὅπως εἰς τὸν Ἀβραὰμ καὶ τὸν Ἰὼβ καὶ τοὺς ὁμοίους· διὰ δὲ τοὺς κατωτέρους εἶναι πρόκλησις νὰ βελτιωθοῦν κατὰ τοὺς τρόπους, καθ' ὅσον ἐκεῖνος ποὺ ἐπιμένει εἰς τὴν ἀδικίαν μετὰ τόσα δείγματα ἀγάπης παρὰ τοῦ Θεοῦ, ἀναντιρρήτως καθιστᾷ τὸν ἑαυτόν του ὑπόδικον πρὸς κατάκρισιν. Καὶ ὁ μὲν δίκαιος οὔτε ὅταν ἔχῃ πλοῦτον ἀφοσιώνεται εἰς αὐτόν, οὔτε ὅταν δὲν ἔχῃ τὸν ἐπιζητεῖ ἐναγωνίως· διότι δὲν ἔχει τὴν διάθεσιν ν' ἀπολαύσῃ τὰ δοθέντα, ἀλλὰ νὰ τὰ διαχειρισθῇ. Κανεὶς δὲ ἀπὸ τοὺς νουνεχεῖς ἀνθρώπους δὲν ἐπιδιώκει τὴν ἐνασχόλησιν εἰς τὴν διανομὴν τῶν ξένων πραγμάτων, ἐὰν δὲν ἀποβλέπῃ εἰς τὴν δόξαν ἐκ μέρους τῶν πολλῶν, οἱ ὁποῖοι θαυμάζουν καὶ ζηλοφθονοῦν ὅσους ἔχουν ἐγκατασταθῇ εἰς κάποιαν ἐξουσίαν. Τὴν δὲ ἀρρώστειαν οἱ δίκαιοι δέχονται ὡς ἄθλημα, περιμένοντες μεγάλους στεφάνους διὰ τὴν ὑπομονήν των. Τὸ ν' ἀποδώσῃ δὲ κανεὶς εἰς ἄλλον τὴν ρύθμισιν τῶν πραγμάτων τούτων, ὄχι μόνον παράλογον, ἀλλὰ καὶ ἀσεβὲς εἶναι.

24

ΕΠΙΣΤΟΛΗ 248
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Ὅταν μὲν ἀποβλέψωμεν εἰς τὴν ἰδικήν μας ἐπιθυμίαν, στενοχωρούμεθα διότι ζῶμεν εἰς τόσην ἀπόστασιν ἀπὸ τὴν εὐλάβειάν σου· ὅταν δὲ ἀποβλέψωμεν εἰς τὸ εἰρηνικὸν τῆς ἰδι-

τὸ εἰρηνικὸν τῆς σαυτοῦ διαγωγῆς, εὐχαριστοῦμεν τῷ Κυρίῳ, τῷ ἐξελομένῳ τὴν εὐλάβειάν σου ἀπὸ τοῦ ἐμπρησμοῦ τούτου ὃς πλέον ἐπενείματο τὴν καθ' ἡμᾶς παροικίαν. Ἔδωκε γὰρ ἡμῖν κατὰ τὰ ἔργα ἡμῶν ὁ Δικαιοκρίτης ἄγγελον Σατὰν ἱκανῶς ἡμᾶς κατακονδυλίζοντα καὶ σφοδρῶς μὲν ἐκδικοῦντα τὴν αἵρεσιν, μέχρι τοσούτου δὲ τὸν πρὸς ἡμᾶς ἐξαγαγόντα πόλεμον, ὥστε μηδὲ αἵματος φείσασθαι τῶν εἰς Θεὸν πεπιστευκότων. Πάντως γὰρ οὐκ ἔλαθέ σου τὴν ἀγάπην ὅτι Ἀσκλήπιός τις διὰ τὸ μὴ ἑλέσθαι τὴν πρὸς τὸν Δωὴκ κοινωνίαν τυπτόμενος παρ' αὐτῶν ταῖς πληγαῖς ἐναπέθανεν, μᾶλλον δὲ διὰ τῶν πληγῶν εἰς τὴν ζωὴν μετετέθη. Ἀκόλουθα δὲ ἐκείνῳ πάντα οἷον γίνεσθαι τὰ λοιπά· διωγμοὺς πρεσβυτέρων καὶ διδασκάλων, τὰ ἄλλα ὅσα ἂν ποιήσειαν ἄνθρωποι τῇ ἐκ τῆς ἀρχῆς δυναστείᾳ πρὸς τὸ ἑαυτῶν βούλημα κεχρημένοι. Ἀλλὰ τούτων μὲν τὴν λύσιν ἡμῖν ὁ Κύριος ταῖς σαῖς εὐχαῖς δώσει καὶ τὴν ὑπομονήν, ὥστε βαστάσαι ἡμᾶς τὸ βάρος τῶν πειρασμῶν ἀξίως τῆς ἐπ' αὐτὸν ἐλπίδος. Αὐτὸς δὲ καταξίου καὶ ἐπιστέλλειν ἡμῖν συνεχῶς περὶ τῶν κατὰ σεαυτόν, κἂν εὕρῃς τινὰ τὸν πιστῶς σοι δυνάμενον διακομίσαι τὸ πονηθὲν ἡμῖν βιβλίον, καταξίωσον μεταστείλασθαι, ἵνα τῇ σῇ ἐπικρίσει θαρρήσαντες καὶ εἰς ἄλλων χεῖρας αὐτὸ διαπεμψώμεθα. Ἐρρωμένος, εὔθυμος τῷ Κυρίῳ, ὑπερευχόμενος χαρισθείης μοι καὶ τῇ τοῦ Κυρίου Ἐκκλησίᾳ χάριτι τοῦ Ἁγίου.

---

1. Β' Κορ. 12, 7.

2. Δωὴκ ἦτο ὁ βοσκὸς τῶν ἡμιόνων τοῦ Σαούλ, τοῦ γενομένου βασιλέως τῶν Ἰσραηλιτῶν. Καὶ πάλιν ἐδῶ ἔχομεν ἀναφορὰν εἰς ἡμιονηγόν.

3. Ἐννοεῖ τὸ Περὶ Ἁγίου Πνεύματος δοκίμιον, τὸ ὁποῖον εἶχε γράψει ἀπροσφάτως κατ παράκλησιν τοῦ Ἀμφιλοχίου.

κῆς σου ζωῆς, εὐχαριστοῦμεν τὸν Κύριον ποὺ ἀπεμάκρυνε τὴν εὐλάβειάν σου ἀπὸ τὸν ἐμπρησμὸν τοῦτον, ὁ ὁποῖος κατέφαγε μὲ ἀδιάπτωτον πεῖσμα τὴν ἰδικήν μας ἐπαρχίαν. Διότι ὁ δικαιοκρίτης κατὰ τὰ ἔργα ἡμῶν Θεὸς ἔδωσεν εἰς ἡμᾶς «ἄγγελον Σατᾶν» [1], ὁ ὁποῖος μᾶς ραπίζει ἐπαρκῶς καὶ ὑπερασπίζεται μὲ φανατισμὸν τὴν αἵρεσιν, μέχρι τοιούτου δὲ σημείου προωθεῖ τὸν ἐναντίον μας πόλεμον, ὥστε νὰ μὴ φείδεται οὔτε αἵματος τῶν πιστευόντων εἰς τὸν Θεόν.

Ἀσφαλῶς βέβαια δὲν διέφυγε τὴν προσοχὴν τῆς ἀγάπης σου ὅτι κάποιος Ἀσκλήπιος, κτυπώμενος ὑπ' αὐτῶν, ἀπέθανεν ἀπὸ τὰς πληγάς, ἢ μᾶλλον διὰ τῶν πληγῶν μετετέθη εἰς τὴν ζωήν, διὰ τὸν λόγον ὅτι δὲν προετίμησε τὴν κοινωνίαν μὲ τὸν Δωήκ [2]. Ἀναλογίσου λοιπὸν ὅτι καὶ ὅλα τὰ ἄλλα γίνονται καθ' ὅμοιον τρόπον μὲ αὐτὸ τὸ ἐπεισόδιον, ὅπως ἐπὶ παραδείγματι διωγμοὶ πρεσβυτέρων καὶ διδασκάλων, καὶ ὅσα ἄλλα ἠμποροῦν νὰ κάμουν ἄνθρωποι, οἱ ὁποῖοι τὴν πολιτικὴν ἐξουσίαν χρησιμοποιοῦν κατὰ τὴν ἰδικήν των θέλησιν. Ἀλλὰ τούτων μὲν τὴν λύσιν θὰ δώσῃ μὲ τὰς εὐχάς σου ὁ Κύριος, ὅπως θὰ δώσῃ καὶ τὴν ὑπομονὴν νὰ βαστάζωμεν τὸ βάρος κατὰ τρόπον ἄξιον τῆς εἰς αὐτὸν ἐλπίδος.

Σὺ δὲ ἀξίωνέ μας νὰ μᾶς γράφῃς συνεχῶς διὰ τὰ προβλήματά σου. Καὶ ἂν εὕρῃς κανένα, ὁ ὁποῖος νὰ ἠμπορῇ νὰ μεταφέρῃ ἐμπίστως τὸ βιβλίον ποὺ συνετάξαμεν, κάμε μας τὴν χάριν νὰ τὸν στείλῃς ἐδῶ, οὕτως ὥστε ἐνθαρρυνόμενοι ἀπὸ τὴν κριτικήν σου νὰ τὸ ἀποστείλωμεν καὶ εἰς ἄλλων ἀνθρώπων χέρια [3].

Εἴθε νὰ χαρισθῇς καὶ εἰς ἐμὲ καὶ εἰς τὴν Ἐκκλησίαν τοῦ Κυρίου ὑγιὴς καὶ εὔθυμος ἐν Κυρίῳ καὶ εὐχέτης, μὲ τὴν χάριν τοῦ ἁγίου Θεοῦ.

25

188. ΑΜΦΙΛΟΧΙΩ ΠΕΡΙ ΚΑΝΟΝΩΝ

Ἀνοήτῳ, φησίν, ἐπερωτήσαντι σοφία λογισθήσεται. Σοφοῦ δέ, ὡς ἔοικεν, ἐπερώτημα καὶ τὸν ἀνόητον σοφίζει· ὅπερ τῇ τοῦ Θεοῦ χάριτι συμβαίνει ἡμῖν, ὁσάκις ἂν δεξώμεθά σου τῆς φιλοπόνου ψυχῆς τὰ γράμματα. Ἐπιστατικώτεροι γὰρ ἑαυτῶν καὶ ἐμφρονέστεροι γινόμεθα ἀπ' αὐτῆς τῆς ἐρωτήσεως πολλὰ ὧν οὐκ ἐπιστάμεθα διδασκόμενοι, καὶ γίνεται ἡμῶν διδάσκαλος ἡ περὶ τὸ ἀκριβὲς μέριμνα. Ἀμέλει καὶ νῦν, οὐδέποτε λαβόντες ἐν φροντίδι τὰ ἐπερωτήματά σου, ἠναγκάσθημεν καὶ ἐπισκέψασθαι ἀκριβῶς καὶ εἴ τέ τι ἠκούσαμεν παρὰ τῶν πρεσβυτέρων ἀναμνησθῆναι καὶ τὰ συγγενῆ ὧν ἐδιδάχθημεν παρ' ἑαυτῶν ἐπιλογίσασθαι.

1. Τὸ μὲν οὖν περὶ τοὺς Καθαροὺς ζήτημα καὶ εἴρηται πρότερον καὶ καλῶς ἀπεμνημόνευσας, ὅτι δεῖ τῷ ἔθει τῶν καθ' ἑκάστην χώραν ἕπεσθαι, διὰ τὸ διαφόρως ἐνεχθῆναι περὶ τοῦ βαπτίσματος αὐτῶν τοὺς τότε περὶ τούτων διαλαβόντας. Τὸ δὲ τῶν Πεπουζηνῶν οὐδένα μοι λόγον ἔχειν δοκεῖ, καὶ ἐθαύμασα πῶς

Ἐπιστολὴ 188. Ἐγράφη τὸ 374 βάσει ἐρωτημάτων τοῦ Ἀμφιλοχίου. Εἶναι ἡ πρώτη κανονικὴ ἐπιστολὴ τοῦ Βασιλείου.

25

ΕΠΙΣΤΟΛΗ 188
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΠΕΡΙ ΚΑΝΟΝΩΝ

«Ὁ ἀνόητος ποὺ ἐρωτᾷ, λέγει ἡ Γραφή, θὰ θεωρηθῇ σοφός» [1]. Ἀλλ' ἡ ἐπερώτησις ἑνὸς σοφοῦ, ὅπως φαίνεται, καθιστᾷ καὶ τὸν ἀνόητον σοφόν. Αὐτὸ συμβαίνει καὶ μὲ ἡμᾶς, ὁσάκις λαμβάνομεν τὰ γράμματα τῆς φιλοπόνου ψυχῆς σου. Διότι γινόμεθα γνωστικώτεροι ἀπὸ τὸν ἑαυτόν μας καὶ σοφώτεροι μὲ μόνην τὴν ἐρώτησιν, διδασκόμενοι πολλὰ πράγματα ποὺ δὲν γνωρίζομεν, καὶ ἡ φροντὶς διὰ τὴν ἐξακρίβωσιν τῶν πραγμάτων γίνεται διδάσκαλός μας. Ἀσφαλῶς δὲ καὶ εἰς τὴν παροῦσαν περίπτωσιν, ἐνῷ ποτὲ ἕως τώρα δὲν εἴχαμεν δώσει προσοχὴν εἰς τὰ ἀντικείμενα τῶν ἐρωτημάτων σου, ἠναγκάσθημεν νὰ τὰ ἐξετάσωμεν μὲ ἀκριβολογίαν καὶ νὰ ἐνθυμηθῶμεν ὅσα τυχὸν ἠκούσαμεν ἀπὸ τοὺς πρεσβυτέρους καὶ νὰ ἐξεύρωμεν μὲ τὸν ἰδικόν μας διαλογισμὸν ὅσα παρουσιάζονται συγγενῆ πρὸς αὐτὰ ποὺ ἐδιδάχθημεν.

1. Τὸ ἀναφερόμενον εἰς τοὺς Καθαροὺς [2] ἔχει ἐκτεθῆ ἄλλοτε, καλῶς δὲ ἀνεμνήσθης ὅτι πρέπει ν' ἀκολουθῆται τὸ σχετικῶς μὲ αὐτοὺς ἔθος εἰς ἑκάστην χώραν, διότι οἱ τότε ἀποφασίσαντες περὶ αὐτῶν ἐπαρουσίασαν διαφορετικὰς θέσεις ὡς πρὸς τὸ βάπτισμά των. Τὸ δὲ βάπτισμα τῶν Πεπουζηνῶν [3]

---

1. Παροιμ. 17, 28.

2. Καθαροὶ ἐλέγοντο οἱ ὀπαδοὶ τοῦ Νοβατιανοῦ, πρεσβυτέρου τῆς Ρώμης, ὁ ὁποῖος κατὰ τὰ μέσα τοῦ 3ου αἰῶνος ἀπεσπάσθη ἀπὸ τὴν Ἐκκλησίαν, διότι διεφώνησεν εἰς τὸ θέμα τῆς ὑποδοχῆς τῶν ἀποστατῶν τῆς πίστεως κατὰ τοὺς διωγμούς. Ἦσαν καθ' ὅλα αὐστηροὶ καὶ δὲν ἐπέτρεπαν καμμίαν ἐπιείκειαν ἔναντι τῶν ἁμαρτανόντων. Ἄλλοι ἐκ τῶν Ὀρθοδόξων τοὺς ἐθεωροῦσαν αἱρετικούς, ἄλλοι δὲ σχισματικούς.

3. Πεπουζηνοὶ ἐλέγοντο οἱ Μοντανισταί, διότι ὁ ἀρχηγός των Μοντανὸς (μετὰ τὰ μέσα τοῦ 2ου αἰῶνος) εἶχεν ἱερὰν πόλιν τὴν Πέπουζαν τῆς Φρυγίας, ὅπου κατὰ τὴν ἀντίληψίν του ἐπρόκειτο νὰ ἐπανεμφανισθῇ ὁ Κύριος. Οἱ Μοντανισταὶ ἀποτελοῦσαν αἵρεσιν ἐσχατολογικήν, ἐνθουσιαστικὴν καὶ ἀπολύτως ἐγκρατευτικήν.

κανονικὸν ὄντα τὸν Διονύσιον παρῆλθεν. Ἐκεῖνο γὰρ ἔκριναν οἱ παλαιοὶ δέχεσθαι βάπτισμα τὸ μηδὲν τῆς πίστεως παρεκβαῖνον· ὅθεν τὰς μὲν αἱρέσεις ὠνόμασαν, τὰ δὲ σχίσματα, τὰς δὲ παρασυναγωγάς. Αἱρέσεις μὲν τοὺς παντελῶς ἀπερρηγμένους καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους, σχίσματα δὲ τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντας, παρασυναγωγὰς δὲ τὰς συνάξεις τὰς παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων ἢ ἐπισκόπων καὶ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας. Οἷον εἴ τις ἐν πταίσματι ἐξετασθεὶς ἐπεσχέθη τῆς λειτουργίας καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν καὶ τὴν λειτουργίαν καὶ συναπῆλθον τούτῳ τινὲς καταλιπόντες τὴν καθολικὴν Ἐκκλησίαν, παρασυναγωγὴ τὸ τοιοῦτο. Σχίσμα δὲ τὸ περὶ τῆς μετανοίας διαφόρως ἔχειν πρὸς τοὺς ἀπὸ τῆς Ἐκκλησίας. Αἱρέσεις δὲ οἷον ἡ τῶν Μανιχαίων, καὶ Οὐαλεντίνων, καὶ Μαρκιωνιστῶν, καὶ αὐτῶν τούτων τῶν Πεπουζηνῶν· εὐθὺς γὰρ περὶ αὐτῆς τῆς εἰς Θεὸν πίστεως ἡ διαφορά.

Ἔδοξε τοίνυν τοῖς ἐξ ἀρχῆς τὸ μὲν τῶν αἱρετικῶν παντελῶς ἀθετῆσαι· τὸ δὲ τῶν ἀποσχισάντων, ὡς ἔτι ἐκ τῆς Ἐκκλησίας ὄντων, παραδέξασθαι· τοὺς δὲ ἐν ταῖς παρασυναγωγαῖς, μετανοίᾳ ἀξιολόγῳ καὶ ἐπιστροφῇ βελτιωθέντας, συνάπτεσθαι πάλιν τῇ Ἐκκλησίᾳ, ὥστε πολλάκις καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς ἀνυποτάκτοις, ἐπειδὰν μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν παραδέχεσθαι τάξιν.

Οἱ τοίνυν Πεπουζηνοὶ προδήλως εἰσὶν αἱρετικοί· εἰς γὰρ τὸ Πνεῦμα τὸ Ἅγιον ἐβλασφήμησαν, Μοντανῷ καὶ Πρισκίλλῃ τὴν

---

4. Διονύσιος, ἐπίσκοπος Ἀλεξανδρείας εἰς τὰ μέσα τοῦ 3ου αἰῶνος.

5. Ἐννοεῖ τὴν ἐπισκοπήν.

6. Τὸ θέμα τῆς ἀποδοχῆς τῶν μετανοούντων ἦτο ἡ πρώτη αἰτία σχίσματος τὸν 3ον αἰῶνα.

7. Παραφυάδες τοῦ Γνωστικισμοῦ· Μανιχαῖοι, ἐκ τοῦ ἀρχηγοῦ των Μάνεντος, αὐστηρῶς δυαρχικὴ αἵρεσις, Οὐαλεντινιανοί, ἐκ τοῦ ἀρχηγοῦ των Οὐαλεντίνου, πολυαρχικὴ γνωστικὴ αἵρεσις, Μαρκιωνισταί, ἐκ τοῦ ἀρχηγοῦ των Μαρκίωνος, δυαρχικὴ γνωστικὴ αἵρεσις.

τέρα γίνεται καὶ πληθύνεται νῦν τὸ τάγμα τῶν παρθένων, προσέχειν ἀκριβῶς τῷ τε κατ' ἔννοιαν φαινομένῳ πράγματι καὶ τῇ τῆς Γραφῆς διανοίᾳ ἣν δυνατὸν ἐξευρεῖν ἀπὸ τοῦ ἀκολούθου. Χηρεία γὰρ παρθενίας ἐλάττων· οὐκοῦν καὶ τὸ τῶν χηρῶν ἁμάρτημα πολλῷ δεύτερόν ἐστι τοῦ τῶν παρθένων. Ἴδωμεν τοίνυν τί γέγραπται Τιμοθέῳ παρὰ τοῦ Παύλου· «Νεωτέρας δὲ χήρας παραιτοῦ. Ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν ἔχουσαι κρῖμα ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν». Εἰ τοίνυν χήρα κρίματι ὑπόκειται βαρυτάτῳ ὡς τὴν εἰς Χριστὸν ἀθετήσασα πίστιν, τί χρὴ λογίζεσθαι ἡμᾶς περὶ τῆς παρθένου, ἥτις νύμφη ἐστὶ τοῦ Χριστοῦ καὶ σκεῦος ἱερὸν ἀνατεθὲν τῷ Δεσπότῃ; Μέγα μὲν ἁμάρτημα καὶ δούλην λαθραίοις γάμοις ἑαυτὴν ἐπιδιδοῦσαν φθορᾶς ἀναπλῆσαι τὸν οἶκον καὶ καθυβρίζειν διὰ τοῦ πονηροῦ βίου τὸν κεκτημένον· πολλῷ δὲ δήπου χαλεπώτερον τὴν νύμφην μοιχαλίδα γενέσθαι καὶ τὴν πρὸς τὸν νυμφίον ἕνωσιν ἀτιμάσασαν ἡδοναῖς ἀκολάστοις ἑαυτὴν ἐπιδοῦναι. Οὐκοῦν ἡ μὲν χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται· ἡ δὲ παρθένος τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται. Ὥσπερ οὖν τὸν ἀλλοτρίᾳ γυναικὶ συνιόντα μοιχὸν ὀνομάζομεν, οὐ πρότερον παραδεξάμενοι εἰς κοινωνίαν πρὶν ἢ παύσασθαι τῆς ἁμαρτίας· οὕτω δηλονότι καὶ ἐπὶ τοῦ τὴν παρθένον ἔχοντος διατεθησόμεθα. Ἐκεῖνο δὲ νῦν προδιομολογεῖσθαι ἡμῖν ἀναγκαῖον, ὅτι παρθένος ὀνομάζεται ἡ ἑκουσίως ἑαυτὴν προσαγαγοῦσα τῷ Κυρίῳ καὶ ἀποταξαμένη τῷ γάμῳ καὶ τὸν ἐν ἁγιασμῷ βίον προτιμήσασα. Τὰς δὲ ὁμολογίας τότε ἐγκρίνομεν, ἀφ' οὗπερ ἂν ἡ ἡλικία τὴν τοῦ λόγου συμπλήρωσιν ἔχῃ. Οὐ γὰρ τὰς παιδικὰς φωνὰς πάντως κυρίας ἐπὶ τῶν τοιούτων ἡγεῖσθαι προσῆκεν, ἀλλὰ τὴν ὑπὲρ τὰ δέκα ἓξ ἢ δέκα καὶ ἑπτὰ γενομένην ἔτη, κυρίαν οὖσαν τῶν λογισμῶν, ἀνακριθεῖσαν ἐπὶ πλεῖον,

4. Καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ὁ Βασίλειος παρουσιάζεται αὐστηρότερος ἀπὸ ὅσον ἀπαιτοῦσεν ἡ παράδοσις.

5. Α' Τιμ. 5, 11 ἑ.

6. Ἡ περίοδος αὐτὴ στρέφει τὸν λόγον πρὸς τὸν συζῶντα μὲ ξένην γυναῖκα ἢ παρθένον, ἐνῷ ὁ Βασίλειος ὁμιλεῖ περὶ τῆς παρθένου. Προφανῶς παρενεβλήθη εἰς τὸ κείμενον ἀπὸ σχόλιον τοῦ περιθωρίου.

ὅπως παρουσιάζεται καὶ εἰς τὴν ἄποψιν τῆς Γραφῆς ποὺ ἠμποροῦμεν νὰ εὕρωμεν κατ' ἀναλογίαν [4]. Πράγματι ἡ χηρεία εἶναι κατωτέρα τῆς παρθενίας· ἐπομένως καὶ τὸ ἁμάρτημα τῶν χηρῶν εἶναι πολὺ ἐλαφρότερον τοῦ τῶν παρθένων. Ἂς ἴδωμεν λοιπὸν τί ἔχει γράψει ὁ Παῦλος πρὸς τὸν Τιμόθεον· «τὰς νεωτέρας δὲ χήρας νὰ τὰς ἐγκαταλείπῃς, καθ' ὅσον, ὅταν καταληφθοῦν ἀπὸ ἐπιθυμίας, θέλουν νὰ ὑπανδρευθοῦν καὶ ὑπόκεινται εἰς κρῖμα διότι ἠθέτησαν τὴν πρώτην ὑπόσχεσιν» [5]. Ἐὰν λοιπὸν μία χήρα ὑπόκειται εἰς βαρύτατον κρῖμα ὡς ἀθετήσασα τὴν εἰς Χριστὸν πίστιν, τί πρέπει νὰ σκεπτώμεθα περὶ τῆς παρθένου, ἡ ὁποία εἶναι νύμφη τοῦ Χριστοῦ καὶ σκεῦος ἱερὸν ἀφιερωμένον εἰς τὸν Δεσπότην; Μέγα εἶναι τὸ ἁμάρτημα καὶ μία δούλη νὰ γεμίσῃ τὸν οἶκον διαφθορὰν ἐπιδιδομένη εἰς λαθραίας ἐρωτικὰς ἐπαφὰς καὶ νὰ καθυβρίζῃ τὸν κάτοχον αὐτῆς διὰ τοῦ πονηροῦ βίου της· ἀλλ' ἀσφαλῶς εἶναι πολὺ βαρύτερον τὸ νὰ γίνῃ ἡ νύμφη μοιχαλὶς καὶ νὰ ἐπιδίδεται εἰς ἀκολάστους ἡδονὰς ἀτιμάσασα τὴν πρὸς τὸν γαμβρὸν ἕνωσιν. Ἐπομένως ἡ μὲν χήρα καταδικάζεται ὡς δοῦλη διεφθαρμένη, ἡ δὲ παρθένος ὑπόκειται εἰς τὸ κρῖμα τῆς μοιχαλίδος. Ὅπως λοιπὸν τὸν συνερχόμενον μὲ ξένην γυναῖκα ὀνομάζομεν μοιχὸν καὶ δὲν τὸν δεχόμεθα εἰς κοινωνίαν πρὶν παύσῃ τὴν ἁμαρτίαν, οὕτω προφανῶς θὰ ἐνεργήσωμεν καὶ εἰς τὴν περίπτωσιν τοῦ ἔχοντος τὴν παρθένον [6].

Ἐκεῖνο δὲ εἶναι τώρα ἀναγκαῖον νὰ διευκρινήσωμεν ἀπὸ πρίν, ὅτι δηλαδὴ παρθένος ὀνομάζεται ἡ νέα ποὺ ἀφιέρωσεν ἑαυτὴν εἰς τὸν Κύριον ἑκουσίως καὶ ἀπεκήρυξε τὸν γάμον καὶ προετίμησε τὸν βίον τῆς ἀγνότητος. Τὰς δὲ ὁμολογίας ἐγκρίνομεν ἀπὸ τὸν χρόνον ποὺ ἡ ἡλικία κατέχει τὴν πληρότητα τῆς λογικῆς ἱκανότητος. Πράγματι δὲν εἶναι ὀρθὸν νὰ θεωρῶμεν ἐγκύρους τὰς παιδικὰς φωνάς· ἀλλὰ τὴν νεάνιδα ποὺ ἔχει ἡλικίαν ἄνω τῶν δέκα ἓξ ἢ δέκα ἑπτὰ ἐτῶν, ποὺ εἶναι κυρία τῶν λογισμῶν της, ποὺ ἀφοῦ ἀνεκρίθη ἐπὶ πολὺ ἐπέμεινε καὶ ἐξελιπάρησε νὰ γίνῃ δεκτή, αὐτὴν πρέπει νὰ συμπεριλάβωμεν εἰς τὰς παρθένους καὶ τῆς τοιαύτης τὴν ὁμολογίαν νὰ ἐπικυ-

εἶτα παραμείνασαν καὶ λιπαροῦσαν διὰ ἱκεσιῶν πρὸς τὸ παραδεχθῆναι, τότε ἐγκαταλέγεσθαι χρὴ ταῖς παρθένοις καὶ τὴν ὁμολογίαν τῆς τοιαύτης κυροῦν καὶ τὴν ἀθέτησιν αὐτῆς ἀπαραιτήτως κολάζειν. Πολλὰς γὰρ γονεῖς προσάγουσι, καὶ ἀδελφοὶ καὶ τῶν προσηκόντων τινές, πρὸς τῆς ἡλικίας, οὐκ οἴκοθεν ὁρμηθείσας πρὸς ἀγαμίαν, ἀλλά τι βιωτικὸν ἑαυτοῖς διοικούμενοι. Ἂς οὐ ῥᾳδίως προσδέχεσθαι δεῖ, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην.

19. Ἀνδρῶν δὲ ὁμολογίας οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν· οἳ κατὰ τὸ σιωπώμενον δοκοῦσι παραδεδέχθαι τὴν ἀγαμίαν. Πλὴν καὶ ἐπ' ἐκείνων ἐκεῖνο ἡγοῦμαι προηγεῖσθαι προσήκειν, ἐρωτᾶσθαι αὐτοὺς καὶ λαμβάνεσθαι τὴν παρ' αὐτῶν ὁμολογίαν ἐναργῆ, ὥστε, ἐπειδὰν μετατίθενται πρὸς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον, ὑπάγειν αὐτοὺς τῷ τῶν πορνευόντων ἐπιτιμίῳ.

20. Ὅσαι γυναῖκες, ἐν αἱρέσει οὖσαι, παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐχ ἡγοῦμαι χρῆναι καταδικάζεσθαι ταύτας. («Ὅσα γὰρ ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ». Αἱ δὲ μήπω ὑπελθοῦσαι τὸν ζυγὸν τοῦ Χριστοῦ οὐδὲ τὴν νομοθεσίαν ἐπιγινώσκουσι τοῦ Δεσπότου. Ὥστε δεκταί εἰσι τῇ Ἐκκλησίᾳ, μετὰ πάντων καὶ τὴν ἐπὶ τούτοις ἄφεσιν ἔχουσαι ἐκ τῆς πίστεως τῆς εἰς Χριστόν. Καὶ καθόλου τὰ ἐν τῷ κατηχουμένῳ βίῳ γενόμενα εἰς εὐθύνας οὐκ ἄγεται. Τούτους δέ, δηλονότι, ἄνευ βαπτίσματος ἡ Ἐκκλησία οὐ παραδέχεται. Ὥστε ἀναγκαιότατον ἐπὶ τούτοις τὰ πρεσβεῖα τῆς γενέσεως.

21. Εἰ ἀνὴρ γυναικὶ συνοικῶν, ἐπειδάν, μὴ ἀρκεσθεὶς τῷ γάμῳ, εἰς πορνείαν ἐκπέσῃ, πόρνον κρίνομεν τὸν τοιοῦτον καὶ πλεῖον αὐτὸν παρατείνομεν ἐν τοῖς ἐπιτιμίοις· οὐ μέντοι ἔχομεν κανόνα τῷ τῆς μοιχείας αὐτὸν ὑπαγαγεῖν ἐγκλήματι, ἐὰν εἰς ἐλευθέ-

---

7. Δὲν ὑπῆρχε κανὼν ὁμολογίας ἀγαμίας διὰ τοὺς ἄνδρας ποὺ ἤθελαν νὰ ζήσουν βίον ἐγκρατείας κατὰ τὴν παλαιὰν ἐποχὴν καὶ μέχρι τοῦ Βασιλείου. Ὁ Βασίλειος ἐδῶ προτείνει τὴν λῆψιν ἀποφάσεως διὰ τοιαύτην ὁμολογίαν, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινε.

ρώσωμεν καὶ αὐτῆς τὴν ἀθέτησιν νὰ τιμωρήσωμεν αὐστηρῶς. Διότι πολλὰς νέας προσάγουν οἱ γονεῖς ἢ οἱ ἀδελφοὶ ἢ ἄλλοι συγγενεῖς, πρὸ τῆς ὡρίμου ἡλικίας, μὴ κινηθείσας ἐθελουσίως εἰς τὴν ἀγαμίαν, μὲ σκοπὸν νὰ διευθετήσουν ἰδικά των βιοτικὰ ζητήματα. Αὐτὰς δὲν πρέπει νὰ δεχώμεθα εὔκολα, ἕως ὅτου ἐξετάσωμεν τὴν ἰδικήν των γνώμην.

19. Δὲν γνωρίζομεν ἀνδρῶν ὁμολογίαν παρθενίας, ἐκτὸς τῆς περιπτώσεως ἐκείνων οἱ ὁποῖοι ἐνεγράφησαν εἰς τὴν τάξιν τῶν μοναχῶν καὶ φαίνονται σιωπηλῶς παραδεχθέντες τὴν ἀγαμίαν [7]. Πάντως νομίζω ὅτι καὶ δι' αὐτοὺς πρέπει νὰ προηγῆται σχετικὴ διαδικασία, νὰ ἐρωτῶνται δηλαδὴ καὶ νὰ λαμβάνεται ρητὴ ὁμολογία των, ὥστε, ὅταν τυχὸν προσχωροῦν εἰς τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον, νὰ τοὺς ὑποβάλλωμεν εἰς τὸ ἐπιτίμιον τῶν πορνευόντων.

20. Ὅσαι ἀπὸ τὰς γυναῖκας ποὺ ἀνήκουν εἰς τὴν αἵρεσιν ὡμολόγησαν παρθενίαν, ἔπειτα δὲ προετίμησαν τὸν γάμον, δὲν νομίζω ὅτι πρέπει νὰ καταδικάζωνται. «Διότι ὅσα λέγει ὁ νόμος, τὰ λέγει διὰ τοὺς ὑπαγομένους εἰς τὸν νόμον» [8]. Ἐκεῖναι λοιπὸν ποὺ δὲν ὑπήχθησαν ἀκόμη εἰς τὸν ζυγὸν τοῦ Χριστοῦ δὲν γνωρίζουν οὔτε τὴν νομοθεσίαν τοῦ Κυρίου. Ὥστε εἶναι δεκταὶ εἰς τὴν Ἐκκλησίαν, λαμβάνουσαι διὰ τῆς πίστεως εἰς Χριστὸν ἄφεσιν μαζὶ μὲ ὅλα τὰ παραπτώματα καὶ δι' αὐτό. Ἄλλωστε γενικῶς διὰ τὰ διαπραττόμενα κατὰ τὸ στάδιον τῶν κατηχουμένων δὲν ζητοῦνται εὐθῦναι [9]. Τούτους δὲ προφανῶς ἡ Ἐκκλησία δὲν δέχεται χωρὶς βάπτισμα. Ὥστε εἶναι ἀναγκαιότατον πρᾶγμα δι' αὐτοὺς νὰ ὑποβληθοῦν εἰς τὸ βάπτισμα τῆς ἀναγεννήσεως.

21. Ἄνδρα ποὺ ζῇ μὲ τὴν σύζυγόν του, ἐάν, μὴ ἀρκούμενος εἰς τὴν σύζυγόν του, ἐκπέσῃ εἰς πορνείαν, τὸν θεωροῦμεν ὡς πόρνον καὶ παρατείνομεν ἐπὶ πολὺ τὸν χρόνον τοῦ ἐπιτιμίου του· ἀλλ' ὅμως δὲν ἔχομεν κανόνα βάσει τοῦ ὁποίου νὰ τὸν

8. Ρωμ. 3, 19.

9. Οἱ αἱρετικοὶ ἐξισώνονται μὲ τοὺς κατηχουμένους, ὅταν προσχωροῦν εἰς τὴν Ὀρθοδοξίαν.

ραν γάμου ἡ ἁμαρτία γένηται· διότι ἡ μοιχαλὶς μὲν «Μιαινομένη, φησί, μιανθήσεται», καὶ οὐκ ἀναστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, καὶ «Ὁ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής»· ὁ μέντοι πορνεύσας οὐκ ἀποκλεισθήσεται τῆς πρὸς τὴν γυναῖκα ἑαυτοῦ συνοικήσεως. Ὥστε ἡ μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται, ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν τῶν οἴκων ἑαυτοῦ ἀποπέμψει. Καὶ τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος, ἡ δὲ συνήθεια οὕτω κεκράτηκε.

22. Τοὺς ἐξ ἁρπαγῆς ἔχοντας γυναῖκας, εἰ μὲν ἄλλοις προμεμνηστευμένας εἶεν ἀφῃρημένοι, οὐ πρότερον χρὴ παραδέχεσθαι πρὶν ἢ ἀφελέσθαι αὐτῶν καὶ ἐπ' ἐξουσίᾳ τῶν ἐξ ἀρχῆς μνηστευσαμένων ποιῆσαι, εἴτε βούλοιντο λαβεῖν αὐτὰς εἴτε ἀποστῆναι. Εἰ δὲ σχολάζουσάν τις λάβοι, ἀφαιρεῖσθαι μὲν δεῖ καὶ τοῖς οἰκείοις ἀποκαθιστᾶν, ἐπιτρέπειν δὲ τῇ γνώμῃ τῶν οἰκείων, εἴτε γονεῖς εἶεν εἴτε ἀδελφοὶ εἴτε οἱτινεσοῦν προεστῶτες τῆς κόρης, κἂν μὲν ἕλωνται αὐτῷ παραδοῦναι, ἱστασθαι τὸ συνοικέσιον, ἐὰν δὲ ἀνανεύσωσι, μὴ βιάζεσθαι. Τὸν μέντοι ἐκ διαφθορᾶς, εἴτε λαθραίας εἴτε βιαιοτέρας, γυναῖκα ἔχοντα ἀνάγκη τὸ τῆς πορνείας ἐπιγνῶναι ἐπιτίμιον. Ἔστι δὲ ἐν τέσσαρσιν ἔτεσιν ὡρισμένη τοῖς πορνεύουσιν ἡ ἐπιτίμησις. Χρὴ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν καὶ προσκλαίειν αὐτοὺς τῇ θύρᾳ τῆς ἐκκλησίας, τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν, τῷ τρίτῳ εἰς μετάνοιαν, τῷ τετάρτῳ εἰς σύστασιν μετὰ τοῦ λαοῦ ἀπεχομένους τῆς προσφορᾶς, εἶτα αὐτοὺς ἐπιτρέπεσθαι τὴν κοινωνίαν τοῦ ἁγιάσματος.

23. Περὶ δὲ τῶν δύο ἀδελφὰς γαμούντων ἢ ἀδελφοῖς δυσὶ γαμουμένων ἐπιστολίδιον ἡμῖν ἐκπεφώνηται οὗ τὸ ἀντίγραφον

10. Ἱερ. 3, 1.

11. Παροιμ. 18, 22α.

12. Τὸ θέμα αὐτὸ ἀνέπτυξε καὶ εἰς τὴν προηγουμένην κανονικὴν ἐπιστολήν.

ὑπαγάγωμεν εἰς τὸ παράπτωμα τῆς μοιχείας, ἐὰν ἡ ἁμαρτία του ἔγινε μὲ ἄγαμον γυναῖκα· διότι ἡ μὲν μοιχαλίς, καθὼς λέγει, «μιαινομένη, θὰ μιαίνεται» καὶ δὲν θὰ ἐπιστρέψῃ εἰς τὸν ἄνδρα της [10], καὶ «ὁ ἔχων μοιχαλίδα εἶναι ἄφρων καὶ ἀσεβής» [11]· ἀλλ' ἐκεῖνος ποὺ πορνεύει δὲν θὰ ἀποκλεισθῇ τῆς συνοικήσεως μὲ τὴν γυναῖκά του [12]. Ὥστε ἡ μὲν γυναῖκα θὰ δέχεται τὸν ἄνδρα της ἐπιστρέφοντα ἀπὸ τὴν πορνείαν, ὁ δὲ ἄνδρας θὰ ἐκδιώξῃ ἀπὸ τὸν οἶκόν του τὴν μιανθεῖσαν σύζυγόν του. Τῆς τοιαύτης ρυθμίσεως τῶν πραγμάτων ὁ λόγος δὲν εἶναι εὔκολον νὰ ἐκτεθῇ, ἀλλὰ πάντως αὐτὴ ἡ συνήθεια ἐπεκράτησεν.

22. Ἐκείνους ποὺ ἔχουν γυναῖκας ἐξ ἀπαγωγῆς, ἐὰν μὲν τὰς ἔχουν ἁφαιρέσει ἐνῷ ἦσαν μνηστευμέναι μὲ ἄλλους, δὲν πρέπει νὰ τοὺς δεχώμεθα πρὶν τοὺς ἀφαιρεθοῦν αὐταὶ καὶ τεθοῦν ὑπὸ τὴν ἐξουσίαν τῶν ἀρχικῶν μνηστήρων των, διὰ ν' ἀποφασίσουν εἴτε νὰ τὰς παραλάβουν εἴτε νὰ τὰς χωρίσουν. Ἐὰν δὲ κανεὶς ἀπήγαγε γυναῖκα ἐλευθέραν, πρέπει νὰ τοῦ ἀφαιρεθῇ καὶ νὰ παραδοθῇ εἰς τοὺς οἰκείους της, καὶ νὰ δοθῇ τὸ δικαίωμα ἀποφάσεως εἰς τοὺς οἰκείους, εἴτε γονεῖς εἶναι εἴτε ἀδελφοὶ εἴτε ὁποιοιδήποτε κηδεμόνες τῆς κόρης, καὶ ἂν μὲν προτιμήσουν νὰ δοθῇ εἰς αὐτόν, νὰ γίνῃ τὸ συνοικέσιον, ἐὰν δὲ ἀρνηθοῦν, νὰ μὴ παραβιασθῇ ἡ γνώμη των. Εἰς ἐκεῖνον ὁ ὁποῖος ἔχει γυναῖκα ποὺ προηγουμένως διέφθειρεν, εἴτε κατόπιν ἀποπλανήσεως εἴτε κατόπιν βίας, εἶναι ἀνάγκη νὰ ἐπιβληθῇ τὸ ἐπιτίμιον τῆς πορνείας. Διαρκεῖ δὲ ἡ καθωρισμένη διὰ τοὺς πορνεύοντας ἐπιτίμησις ἐπὶ τέσσαρα ἔτη. Πρέπει κατὰ τὸ πρῶτον νὰ ἀπομακρύνωνται ἀπὸ τὰς προσευχὰς καὶ νὰ προσκλαίουν εἰς τὴν θύραν τῆς ἐκκλησίας, κατὰ τὸ δεύτερον νὰ γίνωνται δεκτοὶ εἰς ἀκρόασιν, κατὰ τὸ τρίτον εἰς μετάνοιαν, κατὰ τὸ τέταρτον εἰς ἕνωσιν μετὰ τοῦ λαοῦ χωρὶς νὰ μετέχουν τῆς προσφορᾶς, ἔπειτα δὲ νὰ τοὺς ἐπιτρέπεται ἡ κοινωνία τοῦ ἁγαθοῦ.

23. Περὶ ἐκείνων δὲ ποὺ νυμφεύονται δύο ἀδελφὰς ἢ ὑπανδρεύονται δύο ἀδελφοὺς ἔχομεν ἑτοιμάσει ἐγκύκλιον ἐπιστολήν, τῆς ὁποίας ἀντίγραφον ἐστείλαμεν εἰς τὴν εὐλάβειάν σου. Ὁ

ἀπεστείλαμέν σου τῇ εὐλαβείᾳ. Ὁ δὲ ἀδελφοῦ ἰδίου γυναῖκα λαβὼν οὐ πρότερον δεχθήσεται πρὶν ἀποστῆναι αὐτῆς.

24. Χήραν τὴν καταλεγεῖσαν εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, τουτέστι τὴν διακονουμένην ὑπὸ τῆς Ἐκκλησίας, ἔκρινεν ὁ ἀπόστολος γαμουμένην παρορᾶσθαι. Ἀνδρὶ δὲ χηρεύσαντι οὐδεὶς ἐπίκειται νόμος, ἀλλ' ἱκανὸν τῷ τοιούτῳ τὸ τῶν διγάμων ἐπιτίμιον. Ἡ μέντοι χήρα ἑξηκονταετὴς γεγονυῖα, ἐὰν ἕληται πάλιν ἀνδρὶ συνοικεῖν, οὐ καταξιωθήσεται τῆς τοῦ ἀγαθοῦ κοινωνίας, ἕως ἂν τοῦ πάθους τῆς ἀκαθαρσίας παύσηται. Ἐὰν μέντοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν αὐτήν, ἡμέτερον τὸ ἔγκλημα, οὐ τοῦ γυναίου.

25. Ὁ τὴν διεφθαρμένην ὑφ' ἑαυτοῦ εἰς γυναῖκα κατέχων τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται, τὴν δὲ γυναῖκα ἔχειν συγχωρηθήσεται.

26. Ἡ πορνεία γάμος οὐκ ἔστιν, ἀλλ' οὐδὲ γάμου ἀρχή. Ὥστε, ἐὰν ᾖ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον. Ἐὰν δὲ στέργωσιν ἐκ παντὸς τρόπου τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δέ, ἵνα μὴ χεῖρόν τι γένηται.

27. Περὶ τοῦ πρεσβυτέρου τοῦ κατ' ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντος ὥρισα ἃ ἐχρῆν· καθέδρας μὲν μετέχειν, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι. Ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη. Εὐλογεῖν δὲ ἕτερον, τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον. Εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσίς ἐστιν. Ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀγνοίας παράπτωμα πῶς ἑτέρῳ μεταδώσει; Μήτε τοίνυν δημοσίᾳ μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ σῶμα τοῦ Χριστοῦ κατανεμέτω ἑτέροις μήτε τι ἄλλο λειτουργείτω, ἀλλὰ ἀρκούμενος τῇ προεδρίᾳ προσκλαιέτω τῷ Κυρίῳ συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα.

---

13. Α' Τιμ. 5, 9 ἑ.

14. Εἶναι ἕνα ἀπὸ τὰ αὐστηρότερα σημεῖα τῆς νομοθεσίας τοῦ Βασιλείου ἡ τοιαύτη τιμωρία ἱερέως διὰ τέλεσιν ἐξ ἀγνοίας παρανόμου γάμου.

δὲ λαβὼν τὴν σύζυγον τοῦ ἀδελφοῦ του δὲν θὰ γίνῃ δεκτὸς πρὶν τὴν χωρίσῃ.

24. Χήρα, ποὺ ἔχει ἐγγραφῇ εἰς τὴν τάξιν τῶν χηρῶν, ἡ ὁποία τυγχάνει τῆς φροντίδος τῆς Ἐκκλησίας, ὅταν ὑπανδρεύεται, ὁ ἀπόστολος ἔκρινε νὰ παρορᾶται [13]. Δι' ἄνδρα ὅμως χηρεύσαντα δὲν ὑπάρχει κανεὶς κανών, ἀλλ' ἱκανὸν εἶναι δι' αὐτὸν τὸ ἐπιτίμιον τῶν διγάμων. Ἡ δὲ χήρα ποὺ ἔφθασε τὰ ἑξῆντα χρόνια, ἐὰν ἀποφασίσῃ νὰ συνοικήσῃ πάλιν μὲ ἄνδρα, δὲν θὰ καταξιωθῇ τῆς κοινωνίας τοῦ ἁγαθοῦ, ἕως ὅτου παύσῃ τὸ πάθος τῆς ἀκαθαρσίας. Ἐὰν ὅμως τὴν ἐγγράψωμεν εἰς τὸν κατάλογον πρὶν φθάσῃ τὰ ἑξῆντα, ἰδικόν μας εἶναι τὸ παράπτωμα, ὄχι τῆς γυναικός.

25. Ὁ ἔχων σύζυγον τὴν ὑπὸ τοῦ ἰδίου διαφθαρεῖσαν γυναῖκα τὸ μὲν ἐπιτίμιον διὰ τὴν διαφθορὰν θὰ ὑποστῇ, θὰ τοῦ ἐπιτραπῇ ὅμως νὰ διατηρήσῃ τὴν γυναῖκα.

26. Ἡ πορνεία δὲν εἶναι γάμος, ἀλλ' οὔτε ἀρχὴ γάμου. Ὥστε, ἐὰν εἶναι δυνατόν, νὰ χωρίζωνται οἱ συνδεόμενοι κατὰ τὸ σύστημα τῆς πορνείας, τοῦτο εἶναι τὸ καλύτερον. Ἐὰν ὅμως ἐπιθυμοῦν μὲ κάθε τρόπον τὴν συνοίκησιν, νὰ τοὺς ἐπιβληθῇ τὸ ἐπὶ τῆς πορνείας ἐπιτίμιον, ν' ἀφήνωνται δὲ νὰ συζοῦν, διὰ νὰ μὴ γίνῃ τίποτε χειρότερον.

27. Περὶ δὲ τοῦ πρεσβυτέρου ὁ ὁποῖος ἐξ ἀγνοίας ἀνεμίχθη εἰς ἄθεσμον γάμον ὥρισα ὅσα ἔπρεπε· δηλαδὴ νὰ μετέχῃ μὲν τῆς καθέδρας, ν' ἀπέχῃ δὲ τῶν λοιπῶν ἐνεργειῶν. Εἰς τοιοῦτον ἄνθρωπον εἶναι ἀρκετὴ ἡ συγγνώμη· πάντως εἶναι ἀνακόλουθον τὸ νὰ εὐλογῇ ἄλλον ἐκεῖνος ποὺ πρέπει νὰ περιποιηθῇ τὰ ἰδικά του τραύματα. Διότι εὐλογία εἶναι ἡ μετάδοσις ἁγιασμοῦ, αὐτὸς δὲ ποὺ δὲν ἔχει τοῦτο τὸ δῶρον λόγῳ τοῦ ἐκ τῆς ἀγνοίας παραπτώματος, πῶς θὰ τὸ μεταδώσῃ εἰς ἄλλον; Ἑπομένως οὔτε δημοσίᾳ οὔτε ἰδιωτικῶς νὰ εὐλογῇ, οὔτε τὸ σῶμα τοῦ Χριστοῦ νὰ διανέμῃ εἰς ἄλλους οὔτε ἄλλο λειτούργημα νὰ ἐπιτελῇ, ἀλλά, ἀρκούμενος εἰς τὴν προεδρίαν, νὰ προσκλαίῃ ἐνώπιον τοῦ Κυρίου νὰ τοῦ συγχωρηθῇ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα [14].

28. Ἐκεῖνό γε μὴν γελοῖόν μοι κατεφάνη τὸ εὔξασθαί τινα ὑείων ἀπέχεσθαι κρεῶν. Ὥστε καταξίωσον διδάσκειν αὐτοὺς τῶν ἀπαιδεύτων προσευχῶν καὶ ἐπαγγελιῶν ἀπέχεσθαι· τὴν μέντοι χρῆσιν ἀδιάφορον εἶναι συγχώρησον. Οὐδὲν γὰρ κτίσμα Θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. Ὥστε ἡ εὐχὴ καταγέλαστος, οὐχ ἡ ἀποχὴ ἀναγκαία.

29. Ἄρχοντας μέντοι ὀμνύειν ἐπὶ τῷ κακοποιεῖν τοὺς ἀρχομένους καὶ πάνυ θεραπεύεσθαι προσῆκε. Θεραπεία δὲ τούτων διττή· μία μὲν μὴ ὀμνύειν αὐτοὺς διδάσκεσθαι προχείρως, ἑτέρα δὲ μὴ ἐπιμένειν ἐν ταῖς πονηραῖς κρίσεσιν. Ὥστε ὅρκῳ προληφθείς τις εἰς κακοποιίαν ἑτέρου τὴν μὲν ἐπὶ τῇ προπετείᾳ τοῦ ὅρκου μετάνοιαν ἐπιδεικνύσθω, μὴ μέντοι προσχήματι εὐλαβείας τὴν πονηρίαν ἑαυτοῦ βεβαιούτω. Οὐδὲ γὰρ Ἡρῴδῃ συνήνεγκεν εὐορκήσαντι, ὅς, ἵνα μὴ ἐπιορκήσῃ δῆθεν, φονεὺς ἐγένετο τοῦ προφήτου. Ἅπαξ δὲ ὁ ὅρκος ἀπηγόρευται, πολλῷ δὲ δήπου εἰκὸς τὸν ἐπὶ κακῷ γινόμενον κατακεκρίσθαι. Ὥστε μεταφρονεῖν χρὴ τὸν ὀμνύοντα, οὐχὶ σπουδάζειν βεβαιοῦν ἑαυτοῦ τὸ ἀνόσιον. Ἐξέτασον γὰρ πλατύτερον τὴν ἀτοπίαν. Εἴ τις ὀμόσειεν ἐξορύξειν τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, εἰ καλὸν τὸ τοιοῦτον εἰς ἔργον ἀγαγεῖν αὐτῷ; Εἴ τις φονεύσειν; Εἴ τις ὅλως δι' ὅρκου ἐντολήν τινα παραβήσεσθαι; Ὤμοσα γὰρ καὶ ἔστησα, οὐχὶ τὴν ἁμαρτίαν, ἀλλὰ τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Ὥσπερ δὲ τὴν ἐντολὴν ἀμεταθέτοις κρίμασι προσῆκε βεβαιοῦσθαι, οὕτω τὴν ἁμαρτίαν παντοίως καθήκει ἀκυροῦσθαι καὶ ἀφανίζεσθαι.

30. Περὶ τῶν ἁρπαζόντων κανόνα μὲν παλαιὸν οὐκ ἔχομεν, ἰδίαν δὲ γνώμην ἐποιησάμεθα· τρία ἔτη καὶ αὐτοὺς καὶ τοὺς συναρπάζοντας αὐτοῖς ἔξω τῶν εὐχῶν γίνεσθαι. Τὸ δὲ μὴ βιαίως γενό-

15. Ἰωάννου τοῦ Βαπτιστοῦ. Ματθ. 14, 9 ἐ. Μάρκ. 6, 22 – 28.
16. Ψαλμ. 118, 106.

28. Ἐκεῖνο μοῦ ἐφάνη βεβαίως γελοῖον, τὸ ὅτι ηὐχήθη κάποιος ν' ἀπέχῃ χοιρινοῦ κρέατος. Διὰ τοῦτο καταξίωσε νὰ τοὺς διδάξῃς ν' ἀποφεύγουν τὰς παραλόγους προσευχὰς καὶ ἐπαγγελίας. Διότι κανένα κτίσμα τοῦ Θεοῦ δὲν εἶναι ἀπόβλητον ὅταν λαμβάνεται μ' εὐχαριστίαν. Ὥστε ἡ εὐχὴ εἶναι καταγέλαστος, ὄχι ἡ ἀποχὴ τοῦ κρέατος ἀναγκαία.

29. Τὸ νὰ ὁρκίζωνται δὲ οἱ ἄρχοντες νὰ κακοποιοῦν τοὺς ἀρχομένους εἶναι κάτι ποὺ ἀπαιτεῖ προσεκτικὴν θεραπείαν. Διττὴ δὲ εἶναι ἡ θεραπεία αὐτῶν· μία μὲν νὰ διδάσκωνται νὰ μὴ ὁρκίζωνται τόσον εὔκολα, ἑτέρα δὲ νὰ μὴ ἐπιμένουν εἰς τὰς πονηρὰς κρίσεις. Ὥστε, ἐὰν κάποιος ἔχῃ δεθῇ μὲ ὅρκον νὰ κακοποιήσῃ ἄλλον, τὴν μὲν μετάνοιαν διὰ τὴν ἐπιπολαιότητα τοῦ ὅρκου νὰ ἐπιδείξῃ, ἀλλὰ πάντως νὰ μὴ ἐπιβεβαιώσῃ τὴν πονηρίαν του ὑπὸ τὸ πρόσχημα τῆς εὐλαβείας. Οὔτε τὸν Ἡρώδην ὠφέλησε τὸ ὅτι ἐτήρησε τὸν ὅρκον του, ὅταν, διὰ νὰ μὴ ἐπιορκήσῃ δῆθεν, ἔγινε φονεὺς τοῦ προφήτου [15]. Ἀφοῦ ὁ ὅρκος ἔχει ἀπαγορευθῆ ἀπολύτως, πολὺ περισσότερον φυσικὰ εἶναι ἀξιοκατάκριτος ὁ ἐπὶ κακῷ ἀπαγγελλόμενος. Ὥστε πρέπει ν' ἀλλάσσῃ φρόνημα ὁ ὁρκιζόμενος, ὄχι νὰ φροντίζῃ νὰ πραγματοποιήσῃ τὴν ἀνοσίαν σκέψιν του. Ἐξέτασε δὲ εὐρύτερον τὸν παραλογισμόν. Ἐὰν κανεὶς ὁρκισθῇ νὰ ἐξορύξῃ τοὺς ὀφθαλμοὺς τοῦ ἀδελφοῦ, εἶναι καλὸν νὰ πραγματοποιήσῃ τοιοῦτον ὅρκον; Ἐὰν κανεὶς ὁρκισθῇ νὰ φονεύσῃ; «Ὡρκίσθην καὶ ἀπεφάσισα, ὄχι τὴν ἁμαρτίαν, ἀλλὰ τὴν τήρησιν τῶν κριμάτων τῆς δικαιοσύνης σου» [16]. Ὅπως δὲ ἡ ἐντολὴ ταιριάζει νὰ ἐφαρμόζεται μὲ ἀμεταβλήτους ἀποφάσεις, οὕτως ἁρμόζει νὰ ἀκυροῦται καὶ ν' ἀφανίζεται μὲ κάθε τρόπον ἡ ἁμαρτία.

30. Περὶ τῶν ἀπαγωγέων παλαιὸν μὲν κανόνα δὲν ἔχομεν, διετυπώσαμεν δὲ ἰδικήν μας γνώμην· ν' ἀποκλείωνται τῶν προσευχῶν ἐπὶ τριετίαν τόσον αὐτοὶ ὅσον καὶ οἱ συνεργοὶ αὐτῶν. Ἡ δὲ ἄνευ βίας γενομένη ἀπαγωγὴ δὲν προκαλεῖ εὐθύνην, ὅταν δὲν κατευθύνῃ τὴν ἐνέργειαν οὔτε βιασμὸς οὔτε κλοπή. Ἡ δὲ χήρα εἶναι αὐτεξουσία καὶ ἐλευθέρα ν' ἀκολουθήσῃ.

μενον ἀνεύθυνόν ἐστιν, ὅταν μὴ φθορὰ ᾖ μηδὲ κλοπὴ ἡγουμένη τοῦ πράγματος. Αὐτεξουσία δὲ ἡ χήρα, καὶ ἐπ' αὐτῇ τὸ ἀκολουθῆσαι. Ὥστε τῶν σχημάτων ἡμῖν οὐ φροντιστέον.

31. Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς καὶ ἀφανοῦς ὄντος, πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ ἑτέρῳ συνοικήσασα, μοιχᾶται.

32. Οἱ τὴν πρὸς θάνατον ἁμαρτίαν ἁμαρτάνοντες κληρικοὶ τοῦ βαθμοῦ κατάγονται, τῆς κοινωνίας δὲ τῶν λαϊκῶν οὐκ ἐξείργονται. «Οὐ γὰρ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό».

33. Ἡ γυνὴ ἡ διὰ τῆς ὁδοῦ κυήσασα καὶ ἀμελήσασα τοῦ κυήματος τῷ τοῦ φόνου ἐγκλήματι ὑποκείσθω.

34. Τὰς μοιχευθείσας γυναῖκας καὶ ἐξαγορευούσας δι' εὐλάβειαν ἢ ὁπωσοῦν ἐλεγχομένας δημοσιεύειν οὐκ ἐκέλευσαν οἱ πατέρες ἡμῶν, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις, ἵστασθαι δὲ αὐτὰς ἄνευ κοινωνίας προσέταξαν μέχρι τοῦ συμπληροῦσθαι τὸν χρόνον τῆς μετανοίας.

35. Ἐπὶ δὲ τοῦ καταλειφθέντος χρὴ σκοπεῖν τὴν αἰτίαν τῆς ἐγκαταλείψεως, κἂν φανῇ ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίου. Ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ Ἐκκλησίᾳ δοθήσεται.

36. Στρατιώτιδες αἱ τῶν ἀνδρῶν ἀφανῶν ὄντων γαμηθεῖσαι τῷ αὐτῷ ὑπόκεινται λόγῳ ᾧπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τῶν ἀνδρῶν μὴ ἀναμείνασαι τὴν ἐπάνοδον, πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν.

37. Μετὰ τὸ ἀφαιρεθῆναι τὴν ἀλλοτρίαν ὁ γαμήσας ἐπὶ μὲν τῇ πρώτῃ μοιχείαν ἐγκληθήσεται, ἐπὶ δὲ τῇ δευτέρᾳ ἀνεύθυνος ἔσται.

38. Αἱ κόραι αἱ παρὰ γνώμην πατρὸς ἀκολουθήσασαι πορνεύουσι, διαλλαγέντων δὲ τῶν γονέων δοκεῖ θεραπείαν λαμβάνειν

---

17. Ναοὺμ 1, 9.

Ὥστε δὲν ὑπάρχει λόγος νὰ φροντίσωμεν διὰ προσχήματα.

31. Γυναῖκα, ἀνδρὸς ποὺ ἀνεχώρησε καὶ ἐξηφανίσθη, ἐὰν συνοικήσῃ μὲ ἄλλον πρὶν πεισθῇ περὶ τοῦ θανάτου ἐκείνου, μοιχεύεται.

32. Οἱ κληρικοὶ οἱ ἁμαρτάνοντες τὴν πρὸς θάνατον ἁμαρτίαν καθαιροῦνται μὲν τοῦ βαθμοῦ των, δὲν ἐμποδίζονται ὅμως τῆς κοινωνίας τῶν λαϊκῶν. «Διότι δὲν θὰ ἐπιβάλῃς διπλῆν τιμωρίαν διὰ τὸ ἴδιον παράπτωμα» [17].

33. Ἡ γυναῖκα ποὺ ἐγέννησεν εἰς τὸν δρόμον καὶ ἐγκατέλειψε τὸ βρέφος ὑπόκειται εἰς τὴν κατηγορίαν τοῦ φόνου.

34. Τὰς μοιχευθείσας γυναῖκας, ὅταν ἀπὸ εὐλάβειαν ἐξομολογοῦνται ἢ μὲ ὁποιονδήποτε τρόπον ἀνακαλύπτωνται, οἱ πατέρες ἡμῶν δὲν παρήγγειλαν νὰ τὰς γνωστοποιῶμεν δημοσίᾳ, διὰ νὰ μὴ παράσχωμεν μὲ τὸν ἔλεγχον αὐτὸν αἰτίαν θανάτου· διέταξαν δὲ νὰ στέκωνται αὐταὶ χωρὶς κοινωνίαν μέχρις ὅτου συμπληρωθῇ ὁ χρόνος τῆς μετανοίας.

35. Εἰς τὴν περίπτωσιν ἀνδρὸς ἐγκαταλειφθέντος ἀπὸ τὴν σύζυγόν του πρέπει νὰ ἐξετάσωμεν τὴν αἰτίαν τῆς ἐγκαταλείψεως, καὶ ἂν φανῇ ἀναιτίως ἀναχωρήσασα, αὐτὸς μὲν εἶναι ἄξιος συγγνώμης, αὐτὴ δὲ ἀξία ἐπιτιμίου· θὰ δοθῇ δὲ ἄδεια εἰς αὐτὸν νὰ κοινωνῇ μὲ τὴν Ἐκκλησίαν.

36. Γυναῖκες στρατιωτικῶν, τῶν ὁποίων οἱ ἄνδρες ἐξηφανίσθησαν, ἐὰν ὑπανδρευθοῦν, ὑπόκεινται εἰς τὴν ἰδίαν κρίσιν μὲ ἐκείνας τῶν ὁποίων οἱ ἄνδρες ἐταξίδευσαν, διότι δὲν ἐπερίμεναν διὰ τὴν ἐπάνοδον· ἀλλ' ἐδῶ ἡ περίπτωσις ἐπιδέχεται συγχώρησιν διότι ἡ ὑποψία κλίνει μᾶλλον πρὸς τὸν θάνατον.

37. Ὁ νυμφευθεὶς ξένην γυναῖκα, ἀφοῦ τὴν ἀφήρεσεν ἀπὸ ἄλλον, διὰ μὲν τὴν πρώτην γυναῖκα του θὰ κατηγορηθῇ ἐπὶ μοιχείᾳ, διὰ δὲ τὴν δευτέραν θὰ ἀπαλλαγῇ.

38. Αἱ κόραι, ποὺ ἠκολούθησαν ἄνδρα χωρὶς τὴν συναίνεσιν τοῦ πατρός, πορνεύουν, ἐὰν ὅμως συνδιαλλαγοῦν μὲ τοὺς γονεῖς τὸ πρᾶγμα διευθετεῖται· δὲν ἀποκαθίστανται

τὸ γεγονός· οὐκ εὐθὺς δὲ εἰς τὴν κοινωνίαν ἀποκαθίστανται, ἀλλὰ ἐπιτιμηθήσονται τρία ἔτη.

39. Ἡ τῷ μοιχῷ συζῶσα, μοιχαλίς ἐστι πάντα τὸν χρόνον.

40. Ἡ παρὰ γνώμην τοῦ δεσπότου ἀνδρὶ ἑαυτὴν ἐκδιδοῦσα ἐπόρνευσεν, ἡ δὲ μετὰ ταῦτα πεπαρρησιασμένῳ γάμῳ χρησαμένη ἐγήματο. Ὥστε ἐκεῖνο μὲν πορνεία, τοῦτο δὲ γάμος. Αἱ γὰρ συνθῆκαι τῶν ὑπεξουσίων οὐδὲν ἔχουσι βέβαιον.

41. Ἡ ἐν τῇ χηρείᾳ ἑαυτῆς ἐξουσίαν ἔχουσα ἀνδρὶ συνοικεῖν ἀνέγκλητος, εἰ μηδείς ἐστιν ὁ διασπῶν τὸ συνοικέσιον, τοῦ Ἀποστόλου εἰπόντος· «Ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ».

42. Οἱ ἄνευ τῶν κρατούντων γάμοι πορνεῖαί εἰσιν. Οὔτε οὖν πατρὸς ζῶντος οὔτε δεσπότου οἱ συνιόντες ἀνεύθυνοί εἰσιν, ὡς, ἐὰν ἐπινεύσωσιν οἱ κύριοι τὴν συνοίκησιν, τότε λαμβάνει τὸ τοῦ γάμου βέβαιον.

43. Ὃς θανάτου πληγὴν τῷ πλησίον ἔδωκε φονεύς ἐστιν, εἴτε ἧρξε τῆς πληγῆς εἴτε ἠμύνατο.

44. Ἡ διάκονος ἡ τῷ Ἕλληνι συμπορνεύσασα δεκτή ἐστιν εἰς τὴν κοινωνίαν, εἰς δὲ τὴν προσφορὰν δεχθήσεται τῷ ἑβδόμῳ ἔτει, δηλονότι ἐν ἁγνείᾳ ζῶσα. Ὁ δὲ μετὰ τὴν πίστιν Ἕλλην πάλιν τῇ ἱεροσυλίᾳ προσιὼν ἐπὶ τὸν ἔμετον ὑποστρέφει. Ἡμεῖς δὲ τῆς διακόνου τὸ σῶμα ὡς καθιερωμένον οὐκέτι ἐπιτρέπομεν ἐν χρήσει εἶναι σαρκικῇ.

45. Ὃς ἐάν τις τὸ ὄνομα λαβὼν τοῦ χριστιανισμοῦ ἐνυβρίζῃ τὸν Χριστόν, οὐδὲν ὄφελος αὐτῷ ἀπὸ τῆς προσηγορίας.

46. Ἡ δὲ τῷ καταλειφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατὰ ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐ-

---

18. Α' Κορ. 7, 39.

19. Κρατοῦντες εἶναι οἱ κυρίαρχοι προσώπων ποὺ δὲν εἶχαν πολιτικὰ δικαιώματα, ὅπως οἱ δοῦλοι, αἱ θυγατέρες, οἱ ἀνήλικοι υἱοί, κατὰ τὸ ρωμαϊκὸν δίκαιον.

ὅμως ἀμέσως εἰς κοινωνίαν, ἀλλὰ θὰ εἶναι ἐπιτιμημέναι ἐπὶ τριετίαν.

39. Ἡ συζῶσα μὲ μοιχόν, θὰ εἶναι μοιχαλὶς ὅλον τὸν χρόνον τῆς συνοικήσεως.

40. Ἡ δούλη γυναῖκα, ἡ ὁποία παραδίδει ἑαυτὴν εἰς ἄνδρα χωρὶς τὴν συναίνεσιν τοῦ δεσπότου της, πορνεύει· ἐκείνη δὲ ἡ ὁποία μετὰ ἀπὸ αὐτὸ προσέρχεται εἰς ἐπιτρεπτὸν γάμον ὑπανδρεύεται πραγματικά. Ὥστε ἐκεῖνο μὲν πορνεία, τοῦτο δὲ γάμος. Διότι τὰ συμβόλαια τῶν μὴ ἐλευθέρων δὲν εἶναι ἔγκυρα.

41. Γυναῖκα, ἡ ὁποία κατὰ τὴν χηρείαν της διαθέτει ἑαυτὴν ἐλευθέρως, ἠμπορεῖ νὰ συνοικήσῃ μὲ ἄνδρα χωρὶς κατηγορίαν, ἐὰν δὲν ὑπάρχῃ κανεὶς νὰ διασπάσῃ τὸ συνοικέσιον, ἐφ' ὅσον ὁ ἀπόστολος εἶπεν· «ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνδρας, εἶναι ἐλευθέρα νὰ ὑπανδρευθῇ ὁποιον θέλει, ἀλλὰ μόνον ἐν Κυρίῳ»[18].

42. Οἱ ἄνευ συναινέσεως τῶν κρατούντων [19] συναπτόμενοι γάμοι εἶναι πορνεῖαι. Ἑπομένως δὲν εἶναι ἀθῶοι οἱ οὕτω συζῶντες, ἐφ' ὅσον ζῇ ὁ πατὴρ ἢ ὁ δεσπότης· ἐὰν ὅμως ἐγκρίνουν τὴν συνοίκησιν οἱ κύριοι, τότε ὁ γάμος εἶναι ἔγκυρος.

43. Ὅποιος κατέφερεν ἐναντίον τοῦ πλησίον θανατηφόρον τραῦμα εἶναι φονεύς, εἴτε ἦρχισε πρῶτος εἴτε ἠμύνετο.

44. Ἡ διακόνισσα ποὺ συνεπόρνευσε μὲ τὸν εἰδωλολάτρην εἶναι δεκτὴ εἰς κοινωνίαν, ἀλλὰ θὰ μετέχῃ τῆς προσφορᾶς μετὰ ἓξ ἔτη, φυσικὰ ἐὰν ζῇ εἰς ἁγνείαν. Ὁ δὲ εἰδωλολάτρης ὁ ὁποῖος μετὰ τὴν ἀποδοχὴν τῆς πίστεως προσέρχεται πάλιν εἰς τὴν ἱεροσυλίαν, ἐπιστρέφει εἰς τὸν ἔμετόν του. Ἡμεῖς δὲ δὲν ἐπιτρέπομεν τὸ σῶμα τῆς διακονίσσης νὰ εἶναι εἰς σαρκικὴν χρῆσιν, ὡς ἀφιερωμένον.

45. Ἐὰν κάποιος, ἀφοῦ ἔλαβε τὸ ὄνομα τοῦ Χριστιανοῦ, ὑβρίζῃ τὸν Χριστόν, δὲν ἀποκομίζει κανένα ὄφελος ἀπὸ τὴν προσηγορίαν.

46. Ἡ γυναῖκα, ἡ ὁποία ὑπανδρεύθη ἐξ ἀγνοίας ἄνδρα ἔχοντα ἐγκαταλειφθῇ προσκαίρως ἀπὸ τὴν σύζυγόν του, ἀπεμακρύνθη δὲ ἔπειτα διότι ἐπανῆλθεν ἡ προηγουμένη, ἐπόρνευ-

τὸν τὴν προτέραν, ἐπόρνευσε μέν, ἐν ἀγνοίᾳ δέ. Γάμου οὖν οὐκ εἰρχθήσεται. Κάλλιον δέ, ἐὰν μείνῃ οὕτως.

47. Ἐγκρατῖται καὶ Σακκοφόροι καὶ Ἀποτακτῖται τῷ αὐτῷ ὑπόκεινται λόγῳ ᾧ καὶ Ναυατιανοί, ὅτι περὶ μὲν ἐκείνων κανὼν ἐξεφωνήθη, εἰ καὶ διάφορος, τὰ δὲ κατὰ τούτους ἀποσεσιώπηται. Ἡμεῖς μέντοι ἑνὶ λόγῳ ἀναβαπτίζομεν τοὺς τοιούτους. Εἰ δὲ παρ' ὑμῖν ἀπηγόρευται τὸ τοῦ ἀναβαπτισμοῦ, ὥσπερ οὖν καὶ παρὰ Ῥωμαίοις οἰκονομίας τινὸς ἕνεκα ἀπαιτεῖσθαι διὰ τὸ βάπτισμα αὐτῶν, ὁ ἡμέτερος λόγος ἰσχὺν ἐχέτω, ὅτι, ἐπειδὴ ὥσπερ Μαρκιωνιστῶν ἐστιν ἀποβλάστημα ἡ κατ' αὐτοὺς αἵρεσις, βδελυσσομένων τὸν γάμον καὶ ἀποστρεφομένων τὸν οἶνον καὶ τὴν κτίσιν τοῦ Θεοῦ μεμιασμένην εἶναι λεγόντων, οὐ δεχόμεθα αὐτοὺς εἰς τὴν Ἐκκλησίαν, ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ἡμέτερον βάπτισμα. Μὴ γὰρ λεγέτωσαν ὅτι «Εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ἐβαπτίσθημεν» οἵ γε κακῶν ποιητὴν ὑποτιθέμενοι τὸν Θεόν, ἐφαμίλλως τῷ Μαρκίωνι καὶ ταῖς λοιπαῖς αἱρέσεσιν. Ὥστε, ἐὰν ἀρέσῃ τοῦτο, δεῖ πλείονας ἐπισκόπους ἐν ταὐτῷ γενέσθαι καὶ οὕτως ἐκθέσθαι τὸν κανόνα, ἵνα καὶ τῷ ποιήσαντι τὸ ἀκίνδυνον ᾖ καὶ ὁ ἀποκρινόμενος τὸ ἀξιόπιστον ἔχῃ ἐν τῇ περὶ τῶν τοιούτων ἀποκρίσει.

48. Ἡ δὲ ἐγκαταλειφθεῖσα παρὰ τοῦ ἀνδρός, κατὰ τὴν ἐμὴν γνώμην, μένειν ὀφείλει. Εἰ γὰρ ὁ Κύριος εἶπεν· «Ὅτι ἐάν τις καταλίπῃ γυναῖκα, ἐκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι», ἐκ τοῦ μοιχαλίδα αὐτὴν ὀνομάσαι ἀπέκλεισεν αὐτὴν τῆς πρὸς ἑτε-

---

20. Ὅλοι αὐτοὶ οἱ αἱρετικοὶ ἀνήκουν εἰς τὴν ἰδίαν αἱρετικὴν γραμμήν. Διακρίνουν ὀξύτατα τὸ κακὸν ἀπὸ τὸ ἀγαθὸν καὶ ἀποδίδουν τὸ καθένα εἰς ἰδιαίτερον θεόν. Διὰ τοῦτο ἀπέφευγαν τὸν γάμον, ὡς ἐφεύρημα τοῦ κακοῦ θεοῦ, τὸ κρέας, τὸν οἶνον καὶ ἄλλα, ὡς προϊόντα τοῦ κακοῦ. Αἱ ἰδιαίτεραι ὀνομασίαι των ὀφείλονται εἰς ὡρισμένα καθ' ὁμάδα χαρακτηριστικά. Οἱ Σακκοφόροι ἔφεραν ἀντὶ ἐνδύματος σάκκον, οἱ Ἀποστακτῖται ἀπεκήρυσσαν τὸν γάμον κ.τ.τ.

21. Ὁ Μαρκίων ἦτο δυαρχικὸς γνωστικὸς αἱρεσιάρχης τοῦ 2ου αἰῶνος.

σε μέν, ἐν ἀγνοίᾳ δέ. Δὲν θὰ ἐμποδισθῇ λοιπὸν ἀπὸ γάμον, ἀλλὰ καλύτερα εἶναι, ἂν μείνῃ οὕτως.

47. Οἱ Ἐγκρατῖται καὶ οἱ Σακκοφόροι καὶ οἱ Ἀποτακτῖται [20] ὑπόκεινται εἰς τὴν ἰδίαν κρίσιν μὲ τοὺς Νοβατιανούς, διότι περὶ ἐκείνων μέν, τῶν Νοβατιανῶν, διετυπώθη κανών, ἂν καὶ διάφορος κατὰ τόπους, τὰ κατὰ τούτους ὅμως ἔχουν ἀποσιωπηθῆ. Ἡμεῖς πάντως κατὰ ἐνιαίαν ἀπόφασιν ἀναβαπτίζομεν τοὺς τοιούτους. Ἐὰν δὲ εἰς σᾶς ἀπαγορεύεται ὁ ἀναβαπτισμός, ὅπως συμβαίνει καὶ μὲ τοὺς Ρωμαίους κατά τινα οἰκονομίαν λόγῳ τοῦ βαπτίσματος αὐτῶν, πάντως ἡ ἰδική μας ἀπόφασις πρέπει νὰ ἐπικρατήσῃ· διότι, ἐπειδὴ ἡ αἵρεσίς των εἶναι σὰν παραφυὰς τῶν Μαρκιωνιστῶν, οἱ ὁποῖοι βδελύσσονται τὸν γάμον καὶ ἀποστρέφονται τὸν οἶνον καὶ θεωροῦν μεμιασμένην τὴν κτίσιν τοῦ Θεοῦ, δὲν τοὺς δεχόμεθα εἰς τὴν Ἐκκλησίαν, ἐὰν δὲν βαπτισθοῦν εἰς τὸ ἰδικόν μας βάπτισμα. Ἂς μὴ εἴπουν δὲ ὅτι «εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ἐβαπτίσθημεν», αὐτοὶ ποὺ ἐκλαμβάνουν τὸν Θεὸν ὡς ποιητὴν τῶν κακῶν, κατὰ τὸ παράδειγμα τοῦ Μαρκίωνος [21] καὶ τῶν ἄλλων ὁμοίων αἱρεσιαρχῶν. Ὥστε, ἐὰν τοῦτο σοῦ ἀρέσῃ, πρέπει νὰ συγκεντρωθοῦν πολλοὶ ἐπίσκοποι εἰς σύνοδον κατὰ τὴν ὁποίαν νὰ ἐγκρίνουν τὸν κανόνα [22], οὕτως ὥστε καὶ ὁ ἐνεργῶν τὸν ἀναβαπτισμὸν νὰ εἶναι ἐκτὸς κινδύνου καὶ ὁ ἀποκρινόμενος νὰ ἔχῃ ἀξιοπιστίαν εἰς τὰς περὶ τοιούτων θεμάτων ἀποκρίσεις.

48. Γυναῖκα, ἐγκαταλειφθεῖσα ἀπὸ τὸν ἄνδρα της, ὀφείλει κατὰ τὴν γνώμην μου νὰ μείνῃ ἄγαμος. Διότι, ἐὰν ὁ Κύριος εἶπεν, ὅτι «ἐὰν κανεὶς ἐγκαταλείψῃ τὴν γυναῖκα του, ἐκτὸς τοῦ λόγου πορνείας, τὴν ἀναγκάζει νὰ μοιχεύεται» [23], μὲ τὸ νὰ τὴν ὀνομάσῃ μοιχαλίδα ἀποκλείει τὴν πρὸς ἄλλον σύνδεσίν

22. Κάθε τοπικὴ Ἐκκλησία εἶχε τὴν νομοθεσίαν της κατὰ τοὺς χρόνους ἐκείνους, εἰς τὰ λεπτομερειακὰ ζητήματα. Ἡ Σύνοδος τῆς Νικαίας (325) εἶχε καθορίσει τὸν ἀναβαπτισμόν.

23. Ματθ. 5, 32.

ρον κοινωνίας. Πῶς γὰρ δύναται ὁ μὲν ἀνὴρ ὑπεύθυνος εἶναι ὡς μοιχείας αἴτιος, ἡ δὲ γυνὴ ἀνέγκλητος εἶναι, ἡ μοιχαλὶς παρὰ τοῦ Κυρίου διὰ τὴν πρὸς ἕτερον ἄνδρα κοινωνίαν προσαγορευθεῖσα;

49. Αἱ πρὸς ἀνάγκην γενόμεναι φθοραὶ ἀνεύθυνοι ἔστωσαν. Ὥστε καὶ ἡ δούλη, εἰ ἐβιάσθη παρὰ τοῦ οἰκείου δεσπότου, ἀνεύθυνός ἐστιν.

50. Τριγαμίας νόμος οὐκ ἔστιν. Ὥστε νόμῳ γάμος τρίτος οὐκ ἄγεται. Τὰ μέντοι τοιαῦτα ὡς ῥυπάσματα τῆς Ἐκκλησίας ὁρῶμεν, δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα.

27

217. ΑΜΦΙΛΟΧΙΩ ΠΕΡΙ ΚΑΝΟΝΩΝ

Ἀπὸ ὁδοῦ μακρᾶς ἐπανελθὼν (ἐγενόμην γὰρ μέχρι τοῦ Πόντου ἐκκλησιαστικῶν ἕνεκεν χρειῶν, καὶ κατ' ἐπίσκεψιν τῶν ἐπιτηδείων) καὶ τὸ σῶμά μου συντετριμμένον ἐπαναγαγὼν καὶ τὴν ψυχὴν μετρίως κεκακωμένος, ἐπειδὴ τὸ γράμμα τῆς εὐλαβείας σου ἐπὶ χεῖρας ἔλαβον, πάντων ἀθρόως ἐπελαθόμην, καὶ τῆς φωνῆς τῆς πασῶν ἐμοὶ ἡδίστης καὶ χειρὸς τῆς φιλτάτης ὑποδεξάμενος

---

24. Ἐννοεῖται ὁ τρίτος γάμος.

Ἐπιστολὴ 217. Ἐγράφη τὸ 375 καὶ εἶναι ἡ τρίτη κανονικὴ ἐπιστολή. Ὁ Βασίλειος μόλις εἶχεν ἐπιστρέψει ἀπὸ ταξίδι του εἰς τὸν Πόντον δι' ἐκκλησιαστικὰς ὑποθέσεις καὶ δι' ἐπίσκεψιν τῶν ἀδελφῶν του. Βλ. ἐπιστολὰς

της. Πράγματι, πῶς εἶναι δυνατὸν ὁ μὲν ἄνδρας νὰ κατηγορῆται ὡς αἴτιος μοιχείας, ἡ δὲ γυναῖκα νὰ εἶναι ἀκατηγόρητος, αὐτὴ ποὺ λόγῳ τῆς πρὸς ἄλλον ἄνδρα κοινωνίας της ὠνομάσθη μοιχαλὶς ὑπὸ τοῦ Κυρίου;

49. Αἱ ὑφιστάμεναι βιασμοὺς εἶναι ἀκατηγόρητοι. Ὥστε καὶ ἡ δούλη, ἐὰν ἐβιάσθη ἀπὸ τὸν κύριόν της, δὲν εἶναι ἔνοχος.

50. Δὲν ὑπάρχει νόμος περὶ τριγαμίας [24]. Ὥστε ὁ τρίτος γάμος δὲν συνάπτεται βάσει νόμου. Τοιαύτας πράξεις βεβαίως θεωροῦμεν ὡς κηλῖδας τῆς Ἐκκλησίας, ἀλλὰ δὲν τὰς ὑποβάλλομεν εἰς δημοσίας καταδίκας, ὡς προτιμοτέρας τῆς ἀνοικτῆς πορνείας.

27

ΕΠΙΣΤΟΛΗ 217
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΠΕΡΙ ΚΑΝΟΝΩΝ

Ἐπανελθὼν ἀπὸ μακρὸν δρόμον (πράγματι ἔφθασα μέχρι τοῦ Πόντου δι' ἐκκλησιαστικὰς ὑποθέσεις καὶ δι' ἐπίσκεψιν τῶν συγγενῶν μου [1]), ἔφερα ὀπίσω τὸ σῶμά μου συντετριμμένον καὶ τὴν ψυχήν μου σοβαρὰ κακοπαθημένην [2]· ἀλλὰ μόλις ἔλαβα εἰς τὰ χέρια μου τὸ γράμμα τῆς εὐλαβείας σου, τὰ ἐλησμόνησα ὅλα διὰ μιᾶς, ἀφοῦ ἐδέχθην τὰ σύμβολα τῆς φωνῆς

---

210 πρὸς τοὺς εὐγενεῖς τῆς Νεοκαισαρείας καὶ 216 πρὸς Μελέτιον Ἀντιοχείας.

1. Ἡ ἀδελφὴ τοῦ Βασιλείου Μακρίνα, ὁ ἀδελφός του Πέτρος, ἀργότερα ἐπίσκοπος Σεβαστείας, καὶ ἄλλοι συγγενεῖς εἶχαν μικρὰς μοναχικὰς ἀδελφότητας εἰς τὸ οἰκογενειακόν των κτῆμα παρὰ τὸν Ἶριν ποταμόν.

2. Βαθεῖα ἦτο ἡ ἀπογοήτευσις τοῦ Βασιλείου ἀπὸ τὴν συμπεριφορὰν τῶν περὶ τὸν ἐπίσκοπον Νεοκαισαρείας Ἀτάρβιον. Οὗτοι, φοβούμενοι ὅτι θὰ μετέβαινε καὶ εἰς τὴν πόλιν των, διέσπειραν συκοφαντίας εἰς βάρος του. Αὐτὴ ἡ νευρικότης προήρχετο ἐκ τῆς πεποιθήσεως ὅτι ὁ Βασίλειος, ἂν μετέβαινε εἰς τὴν πρωτεύουσαν τῆς περιοχῆς εἰς τὴν ὁποίαν ἀνετράφη, ἠδύνατο νὰ κλονίσῃ τὴν θέσιν τοῦ σαβελλιανίζοντος Ἀταρβίου.

σύμβολα. Ὡς οὖν ἐκ τῶν γραμμάτων οὕτως ἐγενόμην ἠδίων, εἰκάζειν ὀφείλεις πόσου ἀξίαν ποιοῦμαι τὴν συντυχίαν σου, ἣν οἰκονομήσειεν ὁ Ἅγιος γενέσθαι ὅπου ἀνεπαχθὲς ᾖ καὶ αὐτὸς ἡμᾶς προσκαλέσῃ. Καὶ γὰρ οὐ χαλεπόν μοι, εἰ καταλάβοις τὸν οἶκον τὸν ἐπὶ τῆς Εὐφημιάδος, γενέσθαι ὁμοῦ τά τε ὧδε ὀχληρὰ διαφεύγοντι καὶ πρὸς τὴν ἀνυπόκριτόν σου ἀγάπην ἐπειγομένῳ. Τάχα δέ μοι καὶ ἄλλως ἀναγκαίαν ποιεῖ τὴν μέχρι Ναζιανζοῦ ὁδὸν ἡ ἀθρόα τοῦ θεοφιλεστάτου ἐπισκόπου Γρηγορίου ἀναχώρησις, μετὰ ποίας αἰτίας γενομένη ἀγνοουμένη μέχρι τοῦ νῦν. Ὁ δὲ ἄνθρωπος, περὶ οὗ κἀγὼ ἤμην διαλεχθεὶς τῇ τελειότητί σου καὶ αὐτὸς νῦν ἤλπισας ἕτοιμον εἶναι, γίνωσκε ὅτι μακρᾷ ἀρρωστίᾳ περιπεσὼν καὶ κάμνων λοιπὸν περὶ αὐτὰς τὰς ὄψεις, ἐκ τοῦ παλαιοῦ πάθους καὶ τῆς ἔναγχος αὐτῷ ἐπισυμβάσης νόσου παντελῶς ἄχρηστος πρὸς τὰς τυχούσας ἐνεργείας ἀπέμεινεν. Ἄλλος δὲ οὐκ ἔστι παρ' ἡμῖν. Ὥστε βέλτιον, εἰ καὶ ἡμῖν ἐπέτρεψαν τὸ πρᾶγμα, ἀλλ' οὖν ἐξ αὐτῶν ἐκείνων τινὰ προβληθῆναι. Καὶ γὰρ ἡγεῖσθαι χρὴ ταῦτα μὲν τῆς ἀνάγκης εἶναι τὰ ῥήματα, τὴν δὲ ψυχὴν αὐτῶν ἐκεῖνο βούλεσθαι ὅπερ ἐξ ἀρχῆς ἐπεζήτησαν, οἰκεῖον εἶναι τὸν καθηγούμενον. Εἰ δέ ἐστί τις τῶν νεοφωτίστων, κἂν δοκῇ τῷ Μακεδονίῳ κἂν μή, ἐκεῖνος προβληθήτω. Τυπώσεις δὲ αὐτὸν πρὸς τὸ δέον, τοῦ ἐν πᾶσι συνεργοῦντός σοι Κυρίου καὶ τὴν εἰς τοῦτο χάριν παρεχομένου.

51. Τὰ κατὰ τοὺς κληρικοὺς ἀδιορίστως οἱ κανόνες ἐξέθεντο κελεύσαντες μίαν ἐπὶ τοῖς παραπεσοῦσιν ὁρίζεσθαι τιμωρίαν, τὴν ἔκπτωσιν τῆς ὑπηρεσίας, εἴτε ἐν βαθμῷ τυγχάνοιεν εἴτε καὶ ἀχειροθέτῳ ὑπηρεσίᾳ προσκαρτεροῖεν.

52. Ἡ τοῦ κυήματος κατὰ τὴν ὁδὸν ἀμελήσασα, εἰ μὲν οὖν δυναμένη περισώσασθαι κατεφρόνησεν ἢ συγκαλύψειν τὴν ἁμαρτίαν

---

3. Πρόκειται περὶ τοῦ Γρηγορίου Θεολόγου, ὁ ὁποῖος, ἀφοῦ διευθέτησε τὰ τῆς ἐπισκοπῆς Ναζιανζοῦ, ἡ ὁποία ἔμεινε κενὴ μὲ τὸν θάνατον τοῦ πατρός του, Γρηγορίου ἐπίσης ὀνομαζομένου, ἔφυγεν εἰς τὴν ἐρημίαν.

4. Προφανῶς εἶχε ζητηθῇ ἀπὸ τὸν Βασίλειον νὰ εὕρῃ ἄνδρα κατάλληλον διὰ κάποιαν ἐπισκοπὴν τῆς περιοχῆς τοῦ Ἀμφιλοχίου.

τῆς γλυκυτέρας ἀπὸ ὅλας εἰς ἐμὲ καὶ τῆς φιλτάτης χειρός. Ἀφοῦ λοιπὸν τόσον πολὺ ηὐχαριστήθην ἀπὸ τὸ γράμμα σου πρέπει νὰ εἰκάσῃς πόσην σημασίαν δίδω εἰς τὴν συνάντησίν σου. Εἴθε ὁ ἅγιος Θεὸς νὰ τὰ οἰκονομήσῃ νὰ γίνῃ ὅπου δὲν θὰ εἶναι ἐπαχθὲς καὶ ὅπου μᾶς προσκαλέσῃς ἐσύ. Δὲν θὰ μοῦ εἶναι δὲ πράγματι δύσκολον, ἐὰν φθάσῃς εἰς τὸν οἶκον ποὺ εἶναι ἐπὶ τῆς Εὐφημιάδος, νὰ σὲ συναντήσω ἐκεῖ, διαφεύγων τὰ ἐδῶ ἐνοχλοῦντα καὶ σπεύδων πρὸς τὴν ἀνυπόκριτον ἀγάπην σου. Ἐξ ἄλλου ὑπάρχει καὶ ἄλλος λόγος ποὺ καθιστᾷ ἀναγκαίαν τὴν μέχρι Ναζιανζοῦ μετάβασίν μου, ἡ ἐξαφνικὴ ἀναχώρησις τοῦ θεοφιλεστάτου ἐπισκόπου Γρηγορίου[3], ἀγνοῶ ὡς τώρα εἰς ποίαν αἰτίαν ὀφειλομένη.

Ὁ δὲ ἄνθρωπος, περὶ τοῦ ὁποίου καὶ ἐγὼ εἶχα ὁμιλήσει εἰς τὴν τελειότητά σου καὶ διὰ τὸν ὁποῖον ἐσὺ τώρα ἤλπισες ὅτι εἶναι ἕτοιμος, μάθε ὅτι, ἀφοῦ περιέπεσεν εἰς μακρὰν ἀσθένειαν καὶ τώρα ὑποφέρει πολὺ ἀπὸ τὰ μάτια του, ἀπὸ τὸ παλαιὸν πάθος καὶ ἀπὸ τὴν πρόσφατον ἀσθένειάν του, ἔγινεν ἐντελῶς ἀνίκανος ν' ἀντεπεξέλθῃ εἰς τὰς παρουσιασθησομένας ὑποθέσεις[4]. Ἄλλος δὲ δὲν ὑπάρχει εἰς ἡμᾶς. Ὥστε εἶναι προτιμότερον, μολονότι ἀνέθεσαν εἰς ἡμᾶς τὴν φροντίδα, νὰ προταθῇ κάποιος ἀπὸ ἐκείνους τοὺς ἰδίους. Πρέπει δὲ πράγματι νὰ ὑποθέσωμεν ὅτι οἱ λόγοι των ἐκεῖνοι ἐλέχθησαν ὡς φιλοφρόνησις, ἐνῷ ἀπὸ μέσα των ἤθελαν ἐκεῖνο ποὺ ἐζήτησαν ἀπὸ τὴν ἀρχήν, τὸ νὰ εἶναι οἰκεῖός των ὁ προϊστάμενος. Ἐὰν δὲ ὑπάρχῃ κανεὶς ἀπὸ τοὺς νεοφωτίστους, εἴτε ἀρέσει εἰς τὸν Μακεδόνιον εἴτε ὄχι, ἂς προταθῇ ἐκεῖνος. Θὰ τὸν μορφώσῃς δὲ ἐσὺ ἐν ὄψει τῶν ἀναγκῶν, ἐνῷ ὁ Κύριος, ὁ ὁποῖος σοῦ προσφέρει τὴν βοήθειάν του εἰς ὅλα, θὰ σοῦ παράσχῃ τὴν χάριν πρὸς τοῦτο.

51. Τὰ ἀφορῶντα εἰς τοὺς κληρικοὺς οἱ κανόνες ἐξέθεσαν ἀπροσδιορίστως, διατάσσοντες νὰ ὁρίζεται μία τιμωρία, ἡ ἔκπτωσις ἀπὸ τὴν ὑπηρεσίαν, εἴτε κατέχουν ἱερατικὸν βαθμὸν εἴτε ὑπηρετοῦν εἰς λειτούργημα μὴ ἀπαιτοῦν χειροθεσίαν.

52. Ἡ γυναῖκα ποὺ παρημέλησε τὸ καθ' ὁδὸν γεννηθὲν βρέφος, ἐὰν ἠδύνατο νὰ τὸ περισώσῃ καὶ ἠδιαφόρησεν, εἴτε

ἐντεῦθεν νομίζουσα ἢ ὅλως θηριώδει καὶ ἀπανθρώπῳ λογισμῷ χρησαμένη, ὡς ἐπὶ φόνῳ κρινέσθω. Εἰ δὲ οὐκ ἠδυνήθη περιστεῖλαι καὶ δι' ἐρημίαν καὶ ἀπορίαν τῶν ἀναγκαίων διεφθάρη τὸ γεννηθέν, συγγνωστὴ ἡ μήτηρ.

53. Ἡ χήρα δούλη τάχα οὐ μέγα ἔπταισεν, ἑλομένη δεύτερον γάμον ἐν σχήματι ἁρπαγῆς. Ὥστε οὐδὲν τούτου ἕνεκεν ἐγκαλεῖσθαι χρή. Οὐ γὰρ τὰ σχήματα κρίνεται, ἀλλ' ἡ προαίρεσις. Δῆλον δὲ ὅτι τὸ τῆς διγαμίας μένει αὐτὴν ἐπιτίμιον.

54. Τὰς τῶν ἀκουσίων φόνων διαφορὰς πρὸ χρόνου οἶδα ἐπιστείλας τῇ θεοσεβείᾳ σου κατὰ τὸ ἐμοὶ δυνατὸν καὶ πλέον ἐκείνων οὐδὲν εἰπεῖν δύναμαι, τῆς δὲ σῆς συνέσεώς ἐστι κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως ἐπιτείνειν τὰ ἐπιτίμια ἢ καὶ ὑφεῖναι.

55. Οἱ τοῖς λῃσταῖς ἀντεπεξιόντες, ἔξω μὲν ὄντες, τῆς κοινωνίας εἴργονται τοῦ ἁγαθοῦ· κληρικοὶ δὲ ὄντες, τοῦ βαθμοῦ καθαιροῦνται. «Πᾶς γάρ, φησίν, ὁ λαβὼν μάχαιραν ἐν μαχαίρᾳ ἀποθανεῖται».

56. Ὁ ἑκουσίως φονεύσας, μετὰ δὲ τοῦτο μεταμεληθείς, εἴκοσιν ἔτεσιν ἀκοινώτητος ἔσται τοῖς ἁγιάσμασι. Τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ' αὐτῷ. Ἐν τέσσαρσιν ἔτεσι προσκλαίειν ὀφείλει ἔξω τῆς θύρας ἑστὼς τοῦ εὐκτηρίου οἴκου καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν. Μετὰ δὲ τὰ τέσσαρα ἔτη εἰς τοὺς ἀκροωμένους δεχθήσεται καὶ ἐν πέντε ἔτεσι μετ' αὐτῶν ἐξελεύσεται. Ἐν ἑπτὰ ἔτεσι μετὰ τῶν ἐν ὑποπτώσει προσευχόμενος ἐξελεύσεται. Ἐν τέσσαρσι συστήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ οὐ μεταλήψεται. Πληρωθέντων δὲ τούτων μεθέξει τῶν ἁγιασμάτων.

---

5. Μὲ τὴν κανονικὴν ἐπιστολὴν 188, κανὼν 8.
6. Ματθ. 26, 52.

διότι ἐνόμιζεν ὅτι μὲ τὸν τρόπον αὐτὸν θὰ συνεκάλυπτε τὴν ἁμαρτίαν εἴτε διότι ὡδηγήθη ἀπὸ θηριώδη καὶ ἀπάνθρωπον λογισμόν, πρέπει νὰ κρίνεται ὡς ἔνοχος φόνου. Ἐὰν ὅμως δὲν ἠδυνήθη νὰ διατηρήσῃ τὸ νεογνὸν καὶ τοῦτο ἀπέθανε λόγῳ τῆς ἐρημίας καὶ τῆς ἐλλείψεως τῶν ἀναγκαίων, τότε ἡ μητέρα εἶναι ἀξία συγχωρήσεως.

53. Ἡ χήρα δούλη, ποὺ συνῆψε δεύτερον γάμον μὲ τὸ πρόσχημα ἁρπαγῆς δὲν ὑπέπεσεν ἴσως εἰς βαρὺ πταῖσμα. Ὥστε δὲν πρέπει νὰ κατηγορηθῇ καθόλου διὰ τοῦτο· διότι δὲν κρίνονται τὰ φαινόμενα, ἀλλ' ἡ προαίρεσις. Πάντως ἀσφαλῶς παραμένει δι' αὐτὴν τὸ ἐπιτίμιον τοῦ δευτέρου γάμου.

54. Διὰ τὰς διαφορὰς εἰς τὰ εἴδη τῶν ἀκουσίων φόνων ἐνθυμοῦμαι ὅτι σοῦ ἔγραψα κατὰ τὸ δυνατὸν εἰς ἐμὲ πρὸ καιροῦ[5] καὶ δὲν δύναμαι νὰ εἴπω τίποτε περισσότερον ἀπὸ ἐκεῖνα, εἶναι δὲ εἰς τὴν διακριτικὴν ἐξουσίαν τῆς συνέσεώς σου κατὰ τὸ ἰδιαίτερον χαρακτηριστικὸν κάθε περιπτώσεως ν' αὐξάνῃς ἢ νὰ μειώνῃς τὰ ἐπιτίμια.

55. Οἱ ἐξερχόμενοι εἰς καταδίωξιν τῶν ληστῶν, ἐὰν εἶναι λαϊκοί, ἀποκλείονται τῆς κοινωνίας τοῦ ἁγαθοῦ, ἐὰν δὲ εἶναι κληρικοί, καθαιροῦνται τοῦ βαθμοῦ. «Διότι, λέγει, πᾶς λαβὼν μάχαιραν, θ' ἀποθάνῃ μὲ μάχαιραν»[6].

56. Ὁ φονεύσας ἑκουσίως, ἔπειτα δὲ μετανοήσας, θὰ εἶναι ἀκοινώνητος τῶν μυστηρίων ἐπὶ εἴκοσιν ἔτη. Τὰ εἴκοσι δὲ ἔτη θὰ κατανεμηθοῦν εἰς τὴν περίπτωσίν του ὡς ἑξῆς. Ἐπὶ τέσσαρα ἔτη ὀφείλει νὰ προσκλαίῃ, ἱστάμενος ἔξω ἀπὸ τὴν θύραν τοῦ ναοῦ καὶ παρακαλῶν τοὺς εἰσερχομένους πιστοὺς νὰ προσευχηθοῦν ὑπὲρ αὐτοῦ, καθὼς ἐξομολογεῖται τὴν παρανομίαν του. Μετὰ δὲ τὰ τέσσαρα ἔτη θὰ γίνῃ δεκτὸς εἰς τοὺς ἀκροωμένους καὶ θὰ ἐξέρχεται τοῦ ναοῦ μαζὶ μὲ αὐτοὺς ἐπὶ πέντε ἔτη. Ἐπὶ ἑπτὰ ἔτη, προσευχόμενος μετὰ τῶν προσπιπτόντων, θὰ ἐξέρχεται μαζὶ μὲ αὐτούς. Ἐπὶ τέσσαρα ἔτη θὰ ἵσταται μόνον μαζὶ μὲ τοὺς πιστούς, ἀλλὰ δὲν θὰ μεταλαμβάνῃ τῆς προσφορᾶς. Ὅταν δὲ συμπληρωθοῦν ταῦτα θὰ μετάσχῃ τῶν μυστηρίων.

57. Ὁ ἀκουσίως φονεύσας ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων. Οἰκονομηθήσεται δὲ τὰ δέκα ἔτη ἐπ' αὐτῷ οὕτω. Δύο μὲν ἔτη προσκλαύσει, τρία δὲ ἔτη ἐν ἀκροωμένοις διατελέσει, τέσσαρσιν ὑποπίπτων, καὶ ἐνιαυτῷ συσταθήσεται μόνον, καὶ τῷ ἑξῆς εἰς τὰ ἅγια δεχθήσεται.

58. Ὁ μοιχεύσας ἐν δέκα καὶ πέντε ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων· ἐν τέσσαρσι μὲν προσκλαίων ἔτεσιν, ἐν πέντε δὲ ἀκροώμενος, ἐν τέσσαρσιν ὑποπίπτων, ἐν δυσὶ συνεστὼς ἄνευ κοινωνίας.

59. Ὁ πόρνος ἐν ἑπτὰ ἔτεσιν ἀκοινώνητος ἔσται τῶν ἁγιασμάτων· δύο προσκλαίων, καὶ δύο ἀκροώμενος, καὶ δύο ὑποπίπτων, καὶ ἑνὶ συνεστὼς μόνον· τῷ ὀγδόῳ δεχθήσεται εἰς τὴν κοινωνίαν.

60. Ἡ παρθενίαν ὁμολογήσασα, καὶ ἐκπεσοῦσα τῆς ἐπαγγελίας, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐν τῇ οἰκονομίᾳ τῆς καθ' ἑαυτὴν ζωῆς πληρώσει. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν βίον μοναζόντων, ἐπαγγειλαμένων, καὶ ἐκπιπτόντων.

61. Ὁ κλέψας, εἰ μὲν ἀφ' ἑαυτοῦ μεταμεληθεὶς κατηγορήσειεν ἑαυτοῦ, ἐνιαυτὸν κωλυθήσεται μόνον τῆς κοινωνίας τῶν ἁγιασμάτων· εἰ δὲ ἐλεγχθείη, ἐν δυσὶν ἔτεσι. Μερισθήσεται δὲ αὐτῷ ὁ χρόνος εἰς ὑπόπτωσιν καὶ σύστασιν, καὶ τότε ἀξιούσθω τῆς κοινωνίας.

62. Ὁ τὴν ἀσχημοσύνην ἐν τοῖς ἄρσεσιν ἐπιδεικνύμενος τὸν χρόνον τοῦ ἐν τῇ μοιχείᾳ παρανομοῦντος οἰκονομηθήσεται.

63. Ὁ ἐν ἀλόγοις τὴν ἑαυτοῦ ἀσέβειαν ἐξαγορεύων τὸν αὐτὸν χρόνον ἐξομολογούμενος παραφυλάξεται.

64. Ὁ ἐπίορκος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται· δυσὶν ἔτεσι προσκλαίων, τρισὶν ἀκροώμενος, τέσσαρσιν ὑποπίπτων, ἐνιαυτὸν συνεστὼς μόνον, καὶ τότε τῆς κοινωνίας ἀξιούμενος.

65. Ὁ γοητείαν ἢ φαρμακείαν ἐξαγορεύων τὸν τοῦ φονέως

57. Ὁ φονεύσας ἀκουσίως θὰ εἶναι ἀκοινώνητος τῶν μυστηρίων ἐπὶ δέκα ἔτη. Θὰ κατανεμηθοῦν δὲ εἰς τὴν περίπτωσίν του τὰ δέκα ἔτη ὡς ἑξῆς. Ἐπὶ δύο ἔτη θὰ προσκλαύσῃ, ἐπὶ τρία ἔτη θὰ διατελέσῃ μεταξὺ τῶν ἀκροωμένων, ἐπὶ τέσσαρα ἔτη θὰ εἶναι προσπίπτων, ἐπὶ ἕνα ἔτος θὰ ἵσταται μὲ τοὺς πιστοὺς ἁπλῶς, ἔπειτα δὲ θὰ γίνῃ δεκτὸς εἰς τὰ ἅγια.

58. Ὁ μοιχεύσας θὰ εἶναι ἀκοινώνητος τῶν μυστηρίων ἐπὶ δέκα πέντε ἔτη· πέντε μὲν ἔτη προσκλαίων, πέντε δὲ ἀκροώμενος, τέσσαρα προσπίπτων καὶ δύο ἱστάμενος μαζὶ μὲ τοὺς πιστοὺς χωρὶς κοινωνίαν.

59. Ὁ πόρνος ἐπὶ ἑπτὰ ἔτη θὰ εἶναι ἀκοινώνητος τῶν μυστηρίων· δύο προσκλαίων, δύο ἀκροώμενος, δύο προσπίπτων καὶ ἕνα συνεστὼς ἁπλῶς· τὸ δὲ ὄγδοον ἔτος θὰ γίνῃ δεκτὸς εἰς κοινωνίαν.

60. Ἡ ὁμολογήσασα παρθενίαν καὶ ἐκπεσοῦσα τῆς ὑποσχέσεώς της, θὰ συμπληρώσῃ τὸν χρόνον τοῦ ἁμαρτήματος τῆς μοιχείας κατὰ τὴν οἰκονομίαν τοῦ ἰδιωτικοῦ βίου της. Τὸ ἴδιον ἰσχύει καὶ διὰ τοὺς ὑποσχομένους ν' ἀκολουθήσουν τὸν βίον τῶν μοναχῶν καὶ ἐκπιπτόντων.

61. Ὁ κλέψας, ἐὰν μὲν μεταμεληθῇ καὶ καταγγείλῃ μονος του τὸ παράπτωμα, θὰ ἀποκλεισθῇ τῆς κοινωνίας τῶν μυστηρίων μόνον ἐπὶ ἕνα ἔτος· ἐὰν δὲ συλληφθῇ, ἐπὶ δύο ἔτη. Θὰ τοῦ κατανεμηθῇ δὲ ὁ χρόνος εἰς ὑπόπτωσιν καὶ σύστασιν, ἔπειτα δὲ νὰ ἀξιώνεται τῆς κοινωνίας.

62. Ὁ διαπράττων ἀσέλγειαν εἰς τοὺς ἄρρενας θὰ τιμωρηθῇ ἐπὶ χρόνον ἴσον μὲ τὸν τοῦ παρανομήσαντος εἰς μοιχείαν.

63. Ὁ ἐξομολογούμενος διάπραξιν ἀσελγείας εἰς ζῶα θὰ διέλθῃ τὸν ἴδιον χρόνον εἰς μετάνοιαν.

64. Ὁ ἐπίορκος θὰ μείνῃ ἀκοινώνητος ἐπὶ δέκα ἔτη· δύο ἔτη προσκλαίων, τρία ἀκροώμενος, τέσσαρα προσπίπτων, ἕνα συνεστὼς μόνον, καὶ ἔπειτα θ' ἀξιωθῇ τῆς κοινωνίας.

65. Ὁ ἐξομολογούμενος χρῆσιν γοητείας ἢ μαγείας θὰ

χρόνον ἐξομολογήσεται, οὕτως οἰκονομούμενος ὡς ἐν ἐκείνῳ τῷ ἁμαρτήματι ἑαυτὸν ἐλέγξας.

66. Ὁ τυμβωρύχος ἐν δέκα ἔτεσιν ἀκοινώνητος ἔσται· ἐν δυσὶ προσκλαίων, ἐν τρισὶν ἀκροώμενος, ἐν τέσσαρσιν ὑποπίπτων, ἐνιαυτὸν συνεστώς, καὶ τότε δεχθησόμενος.

67. Ἀδελφομιξία τὸν τοῦ φονέως χρόνον ἐξομολογήσεται.

68. Ἡ τῆς ἀπειρημένης συγγενείας εἰς γάμον ἀνθρώπων στάσις, εἰ φωραθείη ἐν ἁμαρτήμασι γεγενημένη, τὰ τῶν μοιχῶν ἐπιτίμια δέξεται.

69. Ἀναγνώστης, εἰ τῇ ἑαυτοῦ μνηστῇ πρὸ γάμου συναλλάξειεν, ἐνιαυτὸν ἀργήσας εἰς τὸ ἀναγινώσκειν δεχθήσεται, μένων ἀπρόκοπος. Κλεψιγαμήσας δὲ ἄνευ μνηστείας παυθήσεται τῆς ὑπηρεσίας. Τὸ δὲ αὐτὸ καὶ ὑπηρέτης.

70. Διάκονος ἐν χείλεσι μιανθεὶς καὶ μέχρι τούτου ἡμαρτηκέναι ὁμολογήσας τῆς λειτουργίας ἐπισχεθήσεται, τοῦ δὲ μετέχειν τῶν ἁγιασμάτων μετὰ τῶν διακόνων ἀξιωθήσεται. Τὸ δὲ αὐτὸ καὶ πρεσβύτερος. Εἰ δέ τι τούτου πλεῖον φωραθείη τις ἡμαρτηκώς, ἐν οἵῳ ἂν ᾖ βαθμῷ, καθαιρεθήσεται.

71. Ὁ συνεγνωκὼς ἑκάστῳ τῶν προειρημένων ἁμαρτημάτων καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθείς, τοῦ τοσούτου χρόνου εἰς ὃν ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ.

72. Ὁ μάντεσιν ἑαυτὸν ἐπιδοὺς ἤ τισι τοιούτοις τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς οἰκονομηθήσεται.

73. Ὁ τὸν Χριστὸν ἀρνησάμενος καὶ παραβὰς τὸ τῆς σωτηρίας μυστήριον ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ προσκλαίειν ὀφείλει, καὶ ἐξομολογεῖσθαι χρεωστεῖ, ἐν τῷ καιρῷ ᾧ ἐκβαίνει

7. Δὲν εἶναι σαφὲς τί ἐννοεῖ ἐδῶ ὁ Βασίλειος· μίανσιν τῶν χειλέων δι' ἐπαφῆς σαρκικῆς ἢ δι' ἐκφορᾶς αἰσχρῶν λόγων;

διέλθῃ εἰς μετάνοιαν τὸν χρόνον τοῦ φονέως, μὲ τοιαύτην διευθέτησιν ὡσὰν νὰ εἶχεν ὁμολογήσει διάπραξιν ἐκείνου τοῦ ἁμαρτήματος.

66. Ὁ τυμβωρύχος θὰ εἶναι ἀκοινώνητος ἐπὶ δέκα ἔτη· δύο προσκλαίων, τρία ἀκροώμενος, τέσσαρα ὑποπίπτων, ἕνα συνεστὼς καὶ ἔπειτα δεκτὸς εἰς κοινωνίαν.

67. Ἡ ἀδελφομιξία θὰ τιμωρηθῇ εἰς μετάνοιαν ἴσην πρὸς τὸν χρόνον τοῦ φονέως.

68. Ἄνθρωποι, συνδεόμενοι μεταξύ των μὲ βαθμὸν συγγενείας κατὰ τὸν ὁποῖον ἀπαγορεύεται σύναψις γάμου, ἐὰν ἀνακαλυφθοῦν νὰ συνδέωνται σαρκικῶς μεταξύ των, θὰ ὑποβληθοῦν εἰς τὰ ἐπιτίμια τῶν μοιχῶν.

69. Ἀναγνώστης, ἐὰν συνέλθῃ σαρκικῶς μὲ τὴν μνηστήν του πρὸ τοῦ γάμου, θὰ τιμωρηθῇ μὲ ἐτησίαν ἀργίαν, ἔπειτα δὲ θὰ γίνῃ δεκτὸς εἰς τὴν ἀνάγνωσιν, μένων χωρὶς προαγωγήν. Ἐὰν δὲ συνδεθῇ σαρκικῶς χωρὶς γάμον, θὰ παυθῇ τῆς ὑπηρεσίας. Τὸ ἴδιον δὲ καὶ ὁ ὑπηρέτης.

70. Διάκονος μιανθεὶς εἰς τὰ χεῖρη [7] καὶ ὁμολογήσας ὅτι ἡμάρτησε μέχρι τοῦ σημείου τούτου, θὰ ἀποκλεισθῇ τοῦ λειτουργήματος, θὰ ἀξιώνεται ὅμως νὰ μετέχῃ τῶν μυστηρίων μαζὶ μὲ τοὺς διακόνους. Τὸ ἴδιον ἰσχύει καὶ διὰ τὸν πρεσβύτερον. Ἐὰν δὲ ἀνακαλυφθῇ διαπράττων κάτι περισσότερον ἀπὸ αὐτό, θὰ καθαιρεθῇ ἀπὸ τὸν βαθμὸν τὸν ὁποῖον κατέχει.

71. Ὁ ἔχων γνῶσιν περὶ διαπράξεως κάποιου ἀπὸ τὰ προαναφερθέντα ἁμαρτήματα καὶ μὴ ὁμολογήσας, ἀλλ' ἀνακαλυφθείς, θὰ ὑποβληθῇ καὶ αὐτὸς εἰς τὸ ἐπιτίμιον ἐπὶ τόσον χρόνον, ὅσον τιμωρεῖται ὁ διαπράξας τὸ παράπτωμα.

72. Ὁ παραδώσας ἑαυτὸν εἰς μάντεις ἢ εἰς παρόμοια πρόσωπα θὰ ἐπιτιμηθῇ καὶ αὐτὸς εἰς χρόνον ἴσον μὲ τὸν τῶν φονέων.

73. Ὁ ἀρνηθεὶς τὸν Χριστὸν καὶ παραβιάσας τὸ μυστήριον τῆς σωτηρίας ὀφείλει νὰ προσκλαίῃ ὁλόκληρον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ, καὶ χρεωστεῖ νὰ εἶναι ἐν μετανοίᾳ, θ' ἀξιωθῇ δὲ τῶν μυστηρίων κατὰ τὸν χρόνον τῆς ἐξόδου ἀπὸ τὸν

τοῦ βίου τοῦ ἁγιάσματος ἀξιούμενος πίστει τῆς παρὰ Θεοῦ φιλανθρωπίας.

74. Ἐὰν μέντοι γε ἕκαστος τῶν ἐν τοῖς προγεγραμμένοις ἁμαρτήμασι γενομένων σπουδαῖος γένηται ἐξομολογούμενος, ὁ πιστευθεὶς παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας λύειν καὶ δεσμεῖν, εἰ φιλανθρωπότερος γένοιτο τὸ ὑπερβάλλον τῆς ἐξομολογήσεως ὁρῶν τοῦ ἡμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔσται καταγνώσεως ἄξιος, τῆς ἐν ταῖς Γραφαῖς ἱστορίας γνωριζούσης ἡμῖν τοὺς μετὰ μείζονος πόνου ἐξομολογουμένους ταχέως τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καταλαμβάνειν.

75. Ὁ ἀδελφῇ ἰδίᾳ ἐκ πατρὸς ἢ ἐκ μητρὸς συμμιανθεὶς εἰς οἶκον προσευχῆς μὴ ἐπιτρεπέσθω παρεῖναι, ἕως ἂν ἀποστῇ τῆς παρανόμου καὶ ἀθεμίτου πράξεως. Μετὰ δὲ τὸ ἐλθεῖν εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας τριετίαν προσκλαιέτω, τῇ θύρᾳ τῶν εὐκτηρίων οἴκων παρεστηκὼς καὶ δεόμενος τοῦ λαοῦ εἰσιόντος ἐπὶ τὴν προσευχήν, ὥστε ἕκαστον μετὰ συμπαθείας ὑπὲρ αὐτοῦ ἐκτενεῖς ποιεῖσθαι πρὸς Κύριον τὰς δεήσεις. Μετὰ δὲ τοῦτο ἄλλην τριετίαν εἰς ἀκρόασιν μόνην παραδεχθήτω, καὶ ἀκούων τῶν Γραφῶν καὶ τῆς διδασκαλίας ἐκβαλλέσθω καὶ μὴ καταξιούσθω προσευχῆς. Ἔπειτα, εἴπερ μετὰ δακρύων ἐξεζήτησεν αὐτὴν καὶ προσέπεσε τῷ Κυρίῳ μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως ἰσχυρᾶς, διδόσθω αὐτῷ ἡ ὑπόπτωσις ἐν ἄλλοις τρισὶν ἔτεσι. Καὶ οὕτως, ἐπειδὰν τοὺς καρποὺς τῆς μετανοίας ἀξίους ἐπιδείξηται, τῷ δεκάτῳ ἔτει εἰς τὴν τῶν πιστῶν εὐχὴν δεχθήτω χωρὶς προσφορᾶς, καὶ δύο ἔτη συστὰς εἰς τὴν εὐχὴν τοῖς πιστοῖς, οὕτω λοιπὸν καταξιούσθω τῆς τοῦ ἀγαθοῦ κοινωνίας.

76. Ὁ αὐτὸς τύπος καὶ περὶ τῶν τὰς νύμφας ἑαυτῶν λαμβανόντων.

77. Ὁ μέντοι καταλιμπάνων τὴν νομίμως αὐτῷ συναφθεῖ-

8. Ἐδῶ δίδεται τὸ κλειδὶ τῆς νοοτροπίας ἡ ὁποία ὑπόκειται εἰς ὅλην αὐτὴν τὴν νομοθεσίαν. Ἡ νομοθεσία θεωρητικῶς εἶναι αὐστηροτάτη καὶ ἐπιδιώκει νὰ συγκρατήσῃ τὰ ἤθη τῶν μελῶν τῆς Ἐκκλησίας ἀλλ' εἰς τὴν ἐφαρμογὴν ὁ κατὰ τόπους ἐπίσκοπος ἢ ἱερεὺς δύναται νὰ αὐξομειώσῃ τὴν διάρκειαν τοῦ ἐπιτιμίου, κατὰ τὴν διαγωγὴν τοῦ μετανοοῦντος.

παρόντα βίον μὲ τὴν πεποίθησιν εἰς τὴν φιλανθρωπίαν τοῦ Θεοῦ.

74. Ἐὰν πάντως κάποιος ἀπὸ αὐτοὺς ποὺ ὑπέπεσαν εἰς τὰ προαναφερθέντα ἁμαρτήματα διακριθῇ εἰς ἀρετὴν κατὰ τὴν διάρκειαν τῆς μετανοίας, ὁ ἔχων ἀναλάβει ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ τὴν ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν δὲν θὰ εἶναι ἀξιοκατάκριτος, ἂν γίνῃ φιλανθρωπότερος, βλέπων τὴν ὑπερβολικὴν ἐπίδοσιν τοῦ ἁμαρτήσαντος εἰς τὴν μετάνοιαν, καὶ ἐλαττώσῃ τὸν χρόνον τῶν ἐπιτιμίων, καθ' ὅσον ἡ εἰς τὰς Γραφὰς περιεχομένη ἱστορία μᾶς διδάσκει ὅτι οἱ παραδιδόμενοι εἰς τὴν μετάνοιαν μὲ μεγαλυτέραν αὐστηρότητα κερδίζουν ταχέως τὴν φιλανθρωπίαν τοῦ Θεοῦ [8].

75. Ὁ ἀσελγήσας μὲ τὴν ἐκ πατρὸς ἢ μητρὸς ἀδελφήν του νὰ μὴ ἐπιτρέπεται νὰ παρευρίσκεται εἰς τὸν οἶκον τῆς προσευχῆς, ἕως ὅτου διακόψῃ τὴν παράνομον καὶ ἀθέμιτον πρᾶξιν. Ἀφοῦ δὲ ἔλθῃ εἰς συναίσθησιν τῆς φοβερᾶς ἁμαρτίας νὰ προσκλαίῃ ἐπὶ τριετίαν, ἱστάμενος πλησίον τῆς θύρας τῶν ναῶν καὶ παρακαλῶν τὸν διὰ προσευχὴν εἰσερχόμενον λαόν, ὥστε ὁ καθένας μὲ συμπάθειαν ν' ἀπευθύνῃ ὑπὲρ αὐτοῦ ἐκτενεῖς δεήσεις πρὸς τὸν Κύριον. Μετ' αὐτὸ δὲ νὰ γίνεται δεκτὸς δι' ἄλλην τριετίαν εἰς ἀκρόασιν καὶ ἀφοῦ ἀκούσῃ τὰς Γραφὰς καὶ τὴν διδασκαλίαν, νὰ ἐκβάλλεται τοῦ ναοῦ καὶ νὰ μὴ ἀξιώνεται τῆς κοινῆς προσευχῆς. Ἔπειτα, ἂν ἐζήτησε τὴν προσευχὴν μὲ δάκρυα καὶ προσέπεσεν εἰς τὸν Κύριον μὲ συντριμμὸν καρδίας καὶ ἰσχυρὰν ταπείνωσιν, νὰ τοῦ δίδεται ἡ ὑπόπτωσις δι' ἄλλα τρία ἔτη. Καὶ οὕτως, ἀφοῦ ἐπιδείξῃ καρποὺς ἀξίους τῆς μετανοίας, κατὰ τὸ δέκατον ἔτος νὰ γίνεται δεκτὸς χωρὶς προσφορὰν καὶ μετὰ διετῆ συνένωσιν εἰς προσευχὴν μὲ τοὺς πιστούς, τότε τέλος νὰ καταξιώνεται τῆς κοινωνίας τοῦ ἀγαθοῦ.

76. Ὁ ἴδιος κανὼν νὰ ἐφαρμόζεται καὶ δι' ἐκείνους ποὺ λαμβάνουν τὰς νύμφας των.

77. Ὁ ἐγκαταλείπων τὴν νομίμως ἡνωμένην μὲ αὐτὸν γυναῖκα καὶ παραλαμβάνων ἄλλην ὑπόκειται εἰς τὴν ἐπὶ μοι-

σαν γυναῖκα καὶ ἑτέραν ἀγόμενος κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. Κεκανόνισται δὲ παρὰ τῶν Πατέρων ἡμῶν τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, τῷ δὲ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι, ἐὰν μετὰ δακρύων μετανοήσωσιν.

78. Ὁ αὐτὸς δὲ τύπος κρατείτω καὶ ἐπὶ τῶν δύο ἀδελφὰς λαμβανόντων εἰς συνοικέσιον, εἰ καὶ κατὰ διαφόρους χρόνους.

79. Οἱ δὲ ταῖς μητρυιαῖς ἑαυτῶν ἐπιμαινόμενοι τῷ αὐτῷ ὑπόκεινται κανόνι, ᾧ καὶ οἱ ταῖς ἑαυτῶν ἀδελφαῖς ἐπιμαινόμενοι.

80. Τὴν δὲ πολυγαμίαν οἱ Πατέρες ἀπεσιώπησαν ὡς κτηνώδη καὶ παντελῶς ἀλλοτρίαν τοῦ γένους τῶν ἀνθρώπων. Ἡμῖν δὲ παρίσταται πλέον τι πορνείας εἶναι τὸ ἁμάρτημα. Διὸ εὔλογον τοὺς τοιούτους ὑποβάλλεσθαι τοῖς κανόσι, δηλονότι ἐνιαυτὸν προσκλαύσαντας, καὶ τρισὶν ὑποπεσόντας, οὕτω δεκτοὺς εἶναι.

81. Ἐπειδὴ δὲ πολλοὶ ἐν τῇ τῶν βαρβάρων καταδρομῇ παρέβησαν τὴν εἰς Θεὸν πίστιν, ὅρκους ἐθνικοὺς τελέσαντες καὶ ἀθεμίτων τινῶν γευσάμενοι τῶν ἐν τοῖς εἰδώλοις τοῖς μαγικοῖς προσενεχθέντων αὐτοῖς, οὗτοι κατὰ τοὺς ἤδη παρὰ τῶν Πατέρων ἡμῶν ἐξενεχθέντας κανόνας οἰκονομείσθωσαν. Οἱ μὲν γὰρ ἀνάγκην χαλεπὴν ἐκ βασάνων ὑπομείναντες καὶ μὴ φέροντες τοὺς πόνους καὶ αἰκισθέντες πρὸς τὴν ἄρνησιν ἐν τρισὶν ἔτεσιν ἀδέκτους εἶναι, καὶ ἐν δυσὶν ἀκροᾶσθαι, καὶ ἐν τρισὶν ὑποπεσόντας, οὕτω δεκτοὺς γενέσθαι εἰς τὴν κοινωνίαν. Οἱ δὲ ἄνευ ἀνάγκης μεγάλης προδόντες τὴν εἰς Θεὸν πίστιν καὶ ἁψάμενοι τῆς τραπέζης τῶν δαιμονίων καὶ ὀμόσαντες ὅρκους ἑλληνικοὺς ἐκβάλλεσθαι μὲν ἐν

---

9. Εἰς τὸν κανόνα 58 ὅμως διὰ τοὺς μοιχοὺς ὁρίζεται δεκαπενταετὴς μετάνοια, ἐναντι τῆς ἑδῶ ἑπταετοῦς. Βλ. εἰσαγωγὴν εἰς τὰς ἐπιστολὰς αὐτάς.

10. Πάλιν ἑδῶ ἡ λέξις σημαίνει γάμον μετὰ τὸν τρίτον.

11. Πρόκειται περὶ τῆς περσικῆς ἐπιδρομῆς ἢ τῆς γοτθικῆς, ἂν ὄχι καὶ περὶ ἀμφοτέρων.

12. Τὸ νὰ εἶναι ἄδεκτοι ἢ νὰ ἐκβάλλωνται, ὅπως λέγεται κατωτέρω, ἀντικαθιστᾷ εἰς τὴν περίπτωσιν αὐτὴν τὴν πρόσκλαυσιν παρὰ τὴν πύλην.

χείρ ποινὴν κατὰ τὴν ἀπόφασιν τοῦ Κυρίου. Ἔχει κανονισθῆ δὲ ὑπὸ τῶν πατέρων ἡμῶν οἱ τοιοῦτοι ἄνθρωποι νὰ προσκλαίουν ἐπὶ ἑνιαυτόν, νὰ ἀκροῶνται ἐπὶ διετίαν, νὰ ὑποπίπτουν ἐπὶ τριετίαν, κατὰ δὲ τὸ ἕβδομον ἔτος νὰ ἵστανται μαζὶ μὲ τοὺς πιστούς, καὶ τότε νὰ καταξιώνωνται τῆς προσφορᾶς, ἐὰν μετανοήσουν μὲ δάκρυα [9].

78. Ὁ ἴδιος κανὼν νὰ ἰσχύῃ καὶ δι' ἐκείνους οἱ ὁποῖοι λαμβάνουν εἰς συμβίωσιν δύο ἀδελφάς, ἀκόμη καὶ ἂν τοῦτο συμβαίνῃ κατὰ διαφόρους χρόνους.

79. Αὐτοὶ δὲ οἱ ὁποῖοι ἐρωτεύονται ἐμμανῶς τὰς μητρυιὰς των ὑπόκεινται εἰς τὸν ἴδιον κανόνα, εἰς τὸν ὁποῖον καὶ οἱ ἐρωτευόμενοι ἐμμανῶς τὰς ἀδελφάς των.

80. Τὴν δὲ πολυγαμίαν [10] οἱ πατέρες ἀπεσιώπησαν ὡς κτηνώδη καὶ ἐντελῶς ξένην πρὸς τὸ γένος τῶν ἀνθρώπων. Εἰς ἡμᾶς δὲ τὸ ἁμάρτημα φαίνεται κάτι περισσότερον ἀπὸ πορνείαν. Διὰ τοῦτο εἶναι εὔλογον οἱ τοιοῦτοι νὰ ὑποβάλλωνται εἰς τοὺς κανόνας, δηλαδή, νὰ γίνωνται δεκτοὶ μόνον ἀφοῦ προσκλαύσουν ἐπὶ ἕνα ἔτος καὶ ὑποπέσουν ἐπὶ τρία.

81. Ἐπειδὴ δὲ πολλοὶ Χριστιανοὶ κατὰ τὴν ἐπιδρομὴν τῶν βαρβάρων παρέβησαν τὴν πίστιν εἰς Θεόν [11], ἀπαγγείλαντες ἐθνικοὺς ὅρκους καὶ γευθέντες ἀπηγορευμένα εἴδη ἀπὸ ἐκεῖνα ποὺ τοὺς προσεφέρθησαν εἰς τὰ εἰδωλολατρικὰ μαγικὰ ἱερά, αὐτοὶ νὰ ἐπιτιμηθοῦν συμφώνως πρὸς τοὺς κανόνας ποὺ ἐψήφισαν οἱ πατέρες ἡμῶν. Λοιπὸν ἐκεῖνοι ποὺ ὑπεβλήθησαν εἰς τρομερὰ βασανιστήρια καὶ ἐκακοποιήθησαν διὰ ν' ἀρνηθοῦν, δὲν ἠδυνήθησαν νὰ ὑποφέρουν τοὺς πόνους, νὰ εἶναι ἄδεκτοι ἐπὶ τρία ἔτη, ἐπὶ δύο νὰ ἀκροῶνται, ἐπὶ τρία νὰ ὑποπίπτουν, ἔπειτα δὲ νὰ γίνωνται δεκτοὶ εἰς κοινωνίαν [12]. Ἐκεῖνοι δὲ ποὺ ἐπρόδωσαν τὴν εἰς Θεὸν πίστιν χωρὶς ἰσχυρὸν καταναγκασμὸν καὶ ἐγεύθησαν τῆς τραπέζης τῶν δαιμονίων [13] καὶ ἐξέφεραν εἰδωλολατρικοὺς ὅρκους νὰ ἐκβάλλωνται

Οἱ ὑποστάντες τρομερὰν βίαν δὲν ἔχουν περίοδον συμπροσευχῆς ἄνευ κοινωνίας, ἐνῷ οἱ ἄλλοι ἔχουν.

13. Τῶν εἰδωλοθύτων.

τρισὶν ἔτεσι, καὶ ἐν δυσὶν ἀκροᾶσθαι, ἐν ὑποπτώσει δὲ εὐξαμένους ἐν τρισὶν ἔτεσι, καὶ ἐν ἄλλοις τρισὶ συστάντας τοῖς πιστοῖς εἰς τὴν δέησιν, οὕτω δεκτοὺς εἶναι τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ.

82. Καὶ περὶ τῶν ἐπιορκησάντων, εἰ μὲν ἐκ βίας καὶ ἀνάγκης παρέβησαν τοὺς ὅρκους, κουφοτέροις ὑπόκεινται τοῖς ἐπιτιμίοις, ὥστε μετὰ ἓξ ἔτη εἶναι αὐτοὺς δεκτούς. Εἰ δὲ ἄνευ ἀνάγκης προδόντες τὴν ἑαυτῶν πίστιν, ἐν δυσὶν ἔτεσι προσκλαύσαντες, καὶ ἐν δυσὶν ἀκροασάμενοι, καὶ ἐν πέντε ἐν ὑποπτώσει εὐξάμενοι καὶ ἐν δυσὶν ἄλλοις ἄνευ προσφορᾶς εἰς τὴν κοινωνίαν τῆς προσευχῆς παραδεχθέντες, οὕτω τελευταῖον ἀξιόλογον, δηλαδή, τὴν μετάνοιαν ἐπιδειξάμενοι ἀποκατασταθήσονται εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ.

83. Οἱ καταμαντευόμενοι καὶ ταῖς συνηθείαις τῶν ἐθνῶν ἐξακολουθοῦντες ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ ἀνευρέσει φαρμακειῶν καὶ καθάρσει ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἐξαετίας. Ἐνιαυτὸν προσκλαύσαντες, καὶ ἐνιαυτὸν ἀκροασάμενοι, καὶ ἐν τρισὶν ἔτεσιν ὑποπίπτοντες, καὶ ἐνιαυτὸν συστάντες τοῖς πιστοῖς, οὕτω δεχθήτωσαν.

84. Πάντα δὲ ταῦτα γράφομεν, ὥστε τοὺς καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας. Οὐ γὰρ πάντως τῷ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν. Ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς μᾶλλον δουλεύειν θέλωσιν ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς ἡμῖν πρὸς αὐτοὺς κοινὸς λόγος. Ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν ὅτι· «Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν». Μὴ τοίνυν καταδεξώμεθα συναπόλλυσθαι τοῖς τοιούτοις, ἀλλὰ φοβηθέντες

---

14. Κατὰ τὸν κανόνα 64, ὀλίγον ἀνωτέρω, ὁ χρόνος διὰ τοὺς ἐπιόρκους γενικῶς ὁρίζεται εἰς δέκα ἔτη (2+3+4+1). Ἐδῶ διακρίνονται οὗτος εἰς δύο, τοὺς μετὰ βίαν ἐπιορκήσαντας, διὰ τοὺς ὁποίους ὁρίζονται ἓξ ἔτη, καὶ τοὺς ἄνευ βίας, διὰ τοὺς ὁποίους ὁρίζονται ἑνδεκα ἔτη (2+2+5+2). Βλ. εἰσαγωγὴν εἰς τὰς παρούσας ἐπιστολὰς πρὸς Ἀμφιλόχιον.

15. Ἡσ. 65, 2. Ρωμ. 10, 21.

16. Γεν. 19, 17.

μὲν διὰ τρία ἔτη, νὰ ἀκροῶνται ἐπὶ δύο, ἀφοῦ δὲ προσευχηθοῦν εἰς ὑπόπτωσιν ἐπὶ τρία ἔτη καὶ συσταθοῦν εἰς τὴν προσευχὴν μὲ τοὺς πιστοὺς ἐπὶ ἄλλα τρία, τότε νὰ γίνωνται δεκτοὶ εἰς τὴν κοινωνίαν τοῦ ἁγαθοῦ.

82. Ὡς πρὸς τοὺς ἐπιορκήσαντας δέ, ἐὰν μὲν παρέβησαν τοὺς ὅρκους ἀπὸ βίαν καὶ καταναγκασμόν, ὑπόκεινται εἰς ἐλαφρότερα ἐπιτίμια, ὥστε μετὰ ἓξ ἔτη νὰ εἶναι δεκτοί. Ἐὰν δὲ ἐπρόδωσαν χωρὶς καταναγκασμὸν τὸν λόγον των, ἀφοῦ προσκλαύσουν ἐπὶ δύο ἔτη καὶ ἀκροασθοῦν ἐπὶ δύο καὶ προσευχηθοῦν μὲ ὑπόπτωσιν ἐπὶ πέντε καὶ γίνουν δεκτοὶ ἄλλα δύο εἰς τὴν κοινὴν προσευχὴν χωρὶς προσφοράν, ἀφοῦ λοιπὸν ἐπιδείξουν τόσον φανερὰ ἀξιόλογον μετάνοιαν, θ' ἀποκατασταθοῦν εἰς τὴν κοινωνίαν τοῦ σώματος τοῦ Χριστοῦ [14].

83. Οἱ συμβουλευόμενοι μαντείας καὶ ἀκολουθοῦντες τὰς συνηθείας τῶν εἰδωλολατρῶν ἢ εἰσάγοντες εἰδικοὺς ἀνθρώπους εἰς τοὺς οἴκους των πρὸς ἀνεύρεσιν μαγικῶν ἐνεργημάτων καὶ κάθαρσιν πρέπει νὰ πίπτουν εἰς τὸν κανόνα τῆς ἐξαετίας. Προσκλαύσαντες ἕνα ἔτος καὶ ἀκροασθέντες ἕνα ἔτος καὶ ὑποπεσόντες τρία ἔτη καὶ παρευρεθέντες μαζὶ μὲ τοὺς πιστοὺς ἕνα ἔτος, ἔπειτα ἂς γίνωνται δεκτοί.

84. Γράφομεν δὲ ὅλα αὐτά, διὰ νὰ εἶναι δυνατὸν νὰ δοκιμάζωνται οἱ καρποὶ τῆς μετανοίας. Πάντως ὅμως δὲν κρίνομεν τὰ τοιαῦτα ζητήματα βάσει τῆς χρονικῆς διαρκείας, ἀλλὰ προσέχομεν τὸν τρόπον τῆς μετανοίας. Ἐὰν δὲ δυσκολεύωνται ν' ἀποσπασθοῦν ἀπὸ τὰς συνηθείας των καὶ θέλουν νὰ δουλεύουν μᾶλλον εἰς τὰς ἡδονὰς τῆς σαρκὸς παρὰ εἰς τὸν Κύριον καὶ μὴ δεχόμενοι νὰ συμμορφωθοῦν πρὸς τὸν εὐαγγελικὸν τρόπον ζωῆς, δὲν ὑπάρχει κανένα συνδετικὸν σημεῖον μεταξὺ ἡμῶν καὶ αὐτῶν. Διότι ἡμεῖς εἰς τὸ μέσον λαοῦ ἀπειθοῦς καὶ ἀντιλέγοντος [15], ἔχομεν διδαχθῆ ν' ἀκούωμεν, «σώζων σῶζε τὴν ψυχήν σου» [16]. Λοιπὸν ἂς μὴ δεχθῶμεν νὰ συναπολεσθῶμεν μὲ τοὺς τοιούτους, ἀλλά, φοβηθέντες τὸ βαρὺ κρῖμα καὶ λαβόντες πρὸ ὀφθαλμῶν τὴν φοβερὰν ἡμέραν τῆς

τὸ βαρὺ κρῖμα καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ Κυρίου πρὸ ὀφθαλμῶν λαβόντες, μὴ θελήσωμεν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι. Εἰ γὰρ μὴ ἐπαίδευσεν ἡμᾶς τὰ φοβερὰ τοῦ Κυρίου, μηδὲ αἱ τηλικαῦται πληγαὶ εἰς αἴσθησιν ἡμᾶς ἤγαγον ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ Κύριος καὶ παρέδωκεν εἰς χεῖρας βαρβάρων καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς καὶ παρεδόθη τῇ διασπορᾷ, διότι ταῦτα ἐτόλμων οἱ τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντες· εἰ μὴ ἔγνωσαν μηδὲ συνῆκαν ὅτι διὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς ἡ ὀργὴ τοῦ Θεοῦ, τίς ἡμῖν κοινὸς πρὸς τούτους λόγος; Ἀλλὰ διαμαρτύρεσθαι αὐτοῖς καὶ νυκτὸς καὶ ἡμέρας καὶ δημοσίᾳ καὶ ἰδίᾳ ὀφείλομεν, συναπάγεσθαι δὲ αὐτῶν ταῖς πονηρίαις μὴ καταδεχώμεθα, προσευχόμενοι μάλιστα μὲν κερδῆσαι αὐτοὺς καὶ ἐξελέσθαι τῆς παγίδος τοῦ Πονηροῦ· ἐὰν δὲ τοῦτο μὴ δυνηθῶμεν, σπουδάσωμεν τὰς γοῦν ἑαυτῶν ψυχὰς τῆς αἰωνίου κατακρίσεως περισώσασθαι.

---

17. Ὡς βάρβαροι βεβαίως ἐδῶ ἐννοοῦνται οἱ προσφάτως ἐπιδραμόντες εἰς τὰς ἐπαρχίας τῆς αὐτοκρατορίας Γότθοι, οἱ ὁποῖοι πλὴν τῶν ἄλλων καταστροφῶν ποὺ ἐπέφεραν ἠχμαλώτιζαν καὶ πλήθη κατοίκων αὐτῆς,

ἀνταποδόσεως τοῦ Κυρίου, ἂς μὴ θελήσωμεν νὰ συναπολεσθῶμεν μὲ τὰς ἁμαρτίας τῶν ἄλλων. Διότι, ἐὰν δὲν μᾶς ἔχουν διδάξει αἱ δειναὶ ἀπειλαὶ τοῦ Κυρίου οὔτε αἱ τόσον φοβεραὶ πληγαὶ μᾶς ἔφεραν εἰς συναίσθησιν τοῦ ὅτι διὰ τὴν ἀνομίαν μας ἐγκατέλειψεν ἡμᾶς ὁ Κύριος καὶ παρέδωσεν ἡμᾶς εἰς χεῖρας βαρβάρων καὶ ἀπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς καὶ παρεδόθη εἰς τὴν διασποράν [17], διότι τοιαύτας πράξεις ἐτολμοῦσαν οἱ περιφέροντες τὸ ὄνομα τοῦ Χριστοῦ, ἐὰν λοιπὸν δὲν ἐγνώρισαν καὶ δὲν ἐκατάλαβαν ὅτι διὰ τοὺς λόγους αὐτοὺς ἦλθεν ἐπάνω μας ἡ ὀργὴ τοῦ Θεοῦ, ποῖον κοινὸν σημεῖον ὑπάρχει μεταξὺ ἡμῶν καὶ αὐτῶν; Παρὰ ταῦτα ὀφείλομεν νύκτα καὶ ἡμέραν νὰ τοὺς συμβουλεύωμεν καὶ δημοσίᾳ καὶ κατ' ἰδίαν, ἀλλὰ νὰ μὴ δεχώμεθα νὰ παρασυρθῶμεν ἀπὸ τὰς πονηρίας των, προσευχόμενοι κυρίως νὰ τοὺς κερδίσωμεν καὶ νὰ τοὺς ἐξαγάγωμεν ἀπὸ τὴν παγίδα τοῦ Πονηροῦ. Ἐὰν δὲ δὲν ἐπιτύχωμεν τοῦτο, ἂς προσπαθήσωμεν τοὐλάχιστον νὰ περισώσωμεν τὰς ἰδικάς μας ψυχὰς ἀπὸ τὴν αἰωνίαν κατάκρισιν.

Χριστιανῶν κατὰ τὸ πλεῖστον. Ἴσως ὑπὸ τὰς λέξεις «αἰχμάλωτος» καὶ «διασπορὰ» νὰ ἐννοοῦνται καὶ αἱ διώξεις τῶν Ὀρθοδόξων ἐκ μέρους τοῦ φιλαρειανοῦ αὐτοκράτορος Οὐάλεντος, αἱ ὁποῖαι, ὅταν ἐγράφετο ἡ ἐπιστολὴ αὐτὴ (375), εὑρίσκοντο εἰς τὸ κορύφωμά των.

Δ

ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΣΑΜΟΣΑΤΩΝ

Αὐτὴ εἶναι ἡ ἐκτενεστέρα ἀπὸ ὅλας τὰς κατὰ παραλήπτην συλλογὰς ἐπιστολῶν τοῦ Βασιλείου. Ἡ πυκνότης τῆς ἀλληλογραφίας του πρὸς τὸν Εὐσέβιον συμβαδίζει μὲ τὸν σεβασμὸν καὶ τὴν ἀγάπην ποὺ ἔτρεφε πρὸς αὐτόν.

Ὁ Εὐσέβιος Σαμοσάτων ὑπῆρξε μεγάλη προσωπικότης τῆς ὀρθοδόξου παρατάξεως ἀπὸ τὸ 361, ὁπότε ἐχειροτονήθη ἐπίσκοπος, μέχρι τοῦ θανάτου του. Ὑπεστήριξε καὶ κυριολεκτικῶς ἐστήριξε μὲ τὸ κῦρός του καὶ τὴν ἐπιμονήν του τὸν Μελέτιον Ἀντιοχείας, ὁ ὁποῖος ἀπὸ μὲν τὴν ἀρειανικὴν πολιτικὴν ἐξουσίαν εἶχεν ἐξορισθῆ ὡς ὀρθόδοξος, ἀπὸ δὲ τὰς μεγάλας Ἐκκλησίας τῆς Ρώμης καὶ τῆς Ἀλεξανδρείας δὲν ἀνεγνωρίζετο διότι ἐθεωρεῖτο ἀρειανός. Ὡς ἐξόριστος δὲ ὁ Μελέτιος διέμενεν εἰς τὸ χωρίον Γήτασα ποὺ ἦτο πλησίον τῶν Σαμοσάτων.

Ὁ Βασίλειος ἴσως εἶχε γνωρίσει τὸν Εὐσέβιον ὡς μοναχὸν ἢ πρεσβύτερον κατὰ τὸ ταξίδι του εἰς τὰς χώρας τῆς Μεσοποταμίας καὶ τῆς Συρίας (358—359) καὶ ἔκτοτε συνεδέθη μαζί του μὲ εἰλικρινῆ φιλίαν. Ὁ Εὐσέβιος ἐνήργησεν ἀποτελεσματικῶς ὥστε νὰ ἐξασφαλισθῆ ἡ ἐκλογή του εἰς τὴν Καισάρειαν τὸ 370 καὶ αὐτὸς τοῦ ἦτο ἀπολύτως ἀφωσιωμένος ὡς πρὸς τὸν πνευματικόν του πατέρα. Παρὰ τὰς δύο ἑκατοντάδας χιλιομέτρων ποὺ τοὺς ἐχώριζαν ἀντήλλασσαν συχνὰ ἐπισκέψεις καὶ συχνότερα ἐπιστολάς.

Εἰς ὅλας τὰς προσπαθείας του νὰ ἑνώσῃ τὸν ὀρθόδοξον κόσμον ἐναντίον τῆς αἱρέσεως εἶχε σύμβουλον τὸν Εὐσέβιον. Ἀλλ' αὐτὸ καὶ ἡ δραστηριότης τοῦ τελευταίου δὲν ἤρεσαν εἰς τὸν Οὐάλεντα, ὁ ὁποῖος τελικῶς τὸν ἐξώρισεν εἰς τὴν Θράκην τὸ 374.

Ὁ Βασίλειος ἔκαμε τὸ πᾶν διὰ νὰ ἐπικοινωνῇ πάλιν μαζί του, νὰ τὸν συμβουλεύεται καὶ νὰ τὸν ἐνισχύῃ. Ἀνακληθεὶς τὸ 378 ὁ ἐξόριστος ἐπίσκοπος ἀπέθανε κατὰ τὴν ἐπιστροφήν του εἰς τὰ Σαμόσατα.

Εἰς τὴν δημοσιευομένην εἰκοσάδα περίπου ἐπιστολῶν πρὸς τὸν Εὐσέβιον παρελαύνει ὁλόκληρος σχεδὸν ὁ βίος τοῦ Βασιλείου, ἀφ' ὅτου ἦτο πρεσβύτερος μέχρι τοῦ θανάτου του περίπου. Ἐκδηλώσεις ἀγάπης καὶ σεβασμοῦ, περιγραφαί τῆς τρομερᾶς ἀσθενείας ἀπὸ τὴν ὁποίαν κατετρύχετο κάθε χειμῶνα ἕως τὰ μέσα τῆς ἀνοίξεως, χαραὶ διὰ τὴν ἀνταλλαγὴν ἐπισκέψεων ἢ τὴν ὑποδοχὴν κοινῶν φίλων, συζητήσεις διὰ τὴν διευθέτησιν τῶν προβλημάτων τῆς Ἀρμενίας, τῆς Ἀντιοχείας, τῆς Μικρᾶς Ἀσίας καὶ πλῆθος ἄλλων θεμάτων παρελαύνουν διὰ τῶν ἐπιστολῶν αὐτῶν.

Παρεμβάλλονται ἐπίσης καὶ μερικαὶ ἐπιστολαὶ πρὸς τὸ περιβάλλον τοῦ Εὐσεβίου κατὰ τὸν χρόνον τῆς ἐξορίας του· πρὸς τὸν ἀνεψιόν του Ἀντίοχον ποὺ τὸν ἠκολούθησεν εἰς τὸν τόπον ἐξορίας (ὑπ' ἀριθμὸν 157 πρὸ τῆς ἐξορίας, ὑπ' ἀριθμὸν 168), πρὸς τὸν Ὀτρήιον Μελιτηνῆς (ὑπ' ἀριθμὸν 182), πρὸς τοὺς πολιτευτὰς τῶν Σαμοσάτων (ὑπ' ἀριθμὸν 183).

27. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Ὅτε, τῇ τοῦ Θεοῦ χάριτι καὶ τῇ βοηθείᾳ τῶν σῶν προσευχῶν, μικρὸν ἀναφέρειν ἐκ τῆς ἀρρωστίας ἔδοξα καὶ ἀνελεξάμην ἐμαυτοῦ τὰς δυνάμεις, τότε ὁ χειμὼν ἐπεγένετο, οἵκοι κατείργων ἡμᾶς καὶ κατὰ χώραν μένειν συναναγκάζων. Εἰ γὰρ καὶ πολλῷ κουφότερος τῆς συνηθείας ἀπήντησεν, ἀλλ' οὖν ἔμοιγε ἱκανὸς εἰς ἐμπόδιον οὐχ ὅπως ὁδοιπορεῖν δι' ἐμαυτοῦ, ἀλλ' οὐδὲ μικρὸν προκύπτειν τοῦ δωματίου δύνασθαι. Ἔστι δέ μοι οὐδὲ τοῦτο μικρόν, τὸ καταξιοῦσθαι διὰ γραμμάτων ὁμιλεῖν τῇ θεοσεβείᾳ σου καὶ τῇ ἐλπίδι τῶν ἀντιδόσεων ἤδη προαναπαύεσθαι. Εἰ δὲ ὁ καιρὸς ἐνδοίη καὶ τῆς ζωῆς ἡμῖν ἔτι λείποιτο χρόνος καὶ μὴ ἄπορον ἡμῖν τὴν ὁδὸν ὁ λιμὸς ἀπεργάσαιτο, ταχὺ ἂν τύχοιμεν τῆς ἐπιθυμίας διὰ τῶν σῶν προσευχῶν, καί, ἐπὶ τῆς ἑστίας σε καταλαβόντες, κατὰ πᾶσαν σχολὴν τῶν μεγάλων θησαυρῶν τῆς ἐν σοὶ σοφίας ἐμφορηθείημεν.

Ἐπιστολὴ 27. Ἐγράφη τὴν ἄνοιξιν τοῦ 368, ὅταν ὁ Βασίλειος ἦτο ἀκόμη πρεσβύτερος, καὶ εἶναι ἡ πρώτη σωζομένη ἐπιστολὴ αὐτοῦ πρὸς τὸν ἐπίσκοπον Σαμοσάτων Εὐσέβιον. Ὁ ἀποστολεὺς παραπονεῖται διὰ τὸ ἐπισφαλὲς τῆς ὑγείας του, ὅπως πράττει εἰς πολυαρίθμους ἐπιστολάς του.

28

ΕΠΙΣΤΟΛΗ 27
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Ὅταν μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ τὴν βοήθειαν τῶν προσευχῶν σου ἐνόμισα ὅτι συνῆλθα ὀλίγον ἀπὸ τὴν ἀρρώστειαν καὶ ἀνέλαβα τὰς δυνάμεις μου, τότε ἐπῆλθεν ὁ χειμὼν ποὺ μᾶς ἔκλεισεν εἰς τὴν οἰκίαν καὶ μᾶς ἠνάγκασε νὰ μένωμεν ἐπὶ τόπου. Διότι, ἂν καὶ ἦτο πολὺ ἐλαφρότερος ἀπὸ ὅσον συνηθίζει, ἀλλὰ δι' ἐμὲ ἦτο ἱκανὸς νὰ μ' ἐμποδίσῃ ὄχι μόνον νὰ ταξιδεύσω κατὰ τὴν διάρκειάν του, ἀλλὰ καὶ νὰ ἠμπορέσω νὰ προβάλω δι' ὀλίγον τὴν κεφαλήν μου ἔξω ἀπὸ τὸ δωμάτιον.

Δὲν εἶναι δὲ μικρὸν πρᾶγμα δι' ἐμὲ τὸ ν' ἀξιώνωμαι νὰ ὁμιλῶ διὰ γραμμάτων πρὸς τὴν θεοσέβειάν σου καὶ νὰ αἰσθάνωμαι ἀπὸ τώρα ἀνάπαυσιν μὲ τὴν ἐλπίδα τῆς ἀπαντήσεως. Ἐὰν δὲ ὁ καιρὸς τὸ ἐπιτρέψῃ, καὶ ἐφ' ὅσον μᾶς ὑπολείπεται ἀκόμη χρόνος ζωῆς καὶ δὲν μᾶς καταστήσῃ ἀδιάβατον τὴν ὁδὸν ἡ πεῖνα [1], ἠμπορεῖ μὲ τὰς προσευχάς σου νὰ ἱκανοποιήσωμεν γρήγορα τὴν ἐπιθυμίαν μας· καὶ συναντῶντες σε εἰς τὴν ἔδραν σου θὰ γεμίσωμεν μὲ ὅλην τὴν ἄνεσιν ἀπὸ τοὺς μεγάλους θησαυροὺς τῆς σοφίας σου.

1. Πρόκειται περὶ τῆς τρομερᾶς πείνας ποὺ παρετηρήθη τὸ 368 εἰς τὴν Καππαδοκίαν καὶ περὶ τῆς ὁποίας ὁ Βασίλειος δίδει εἰκόνα παραστατικὴν εἰς τὴν Ὁμιλίαν 8 περὶ τῶν πλουτούντων. Μὲ τὴν εὐκαιρίαν αὐτὴν ὠργάνωσε κοινὰ συσσίτια διὰ τοὺς δυστυχεῖς εἰς τὴν Καισάρειαν.

29

30. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Εἰ πάσας ἐφεξῆς γράφοιμι τὰς αἰτίας ὑφ' ὧν μέχρι τοῦ παρόντος κατεσχέθην, καὶ πάνυ ὡρμημένος πρὸς τὴν σὴν θεοσέβειαν, ἱστορίας ἂν μῆκος ἀπέραντον ἐκπληρώσαιμι. Νόσους μὲν ἐπαλλήλους καὶ χειμῶνος ἐπάχθειαν καὶ πραγμάτων συνοχὴν παρίημι λέγειν, γνώριμα ὄντα καὶ ἤδη προδεδηλωμένα τῇ τελειότητί σου. Νῦν δὲ καὶ ἦν μόνην εἶχον τοῦ βίου παραμυθίαν, τὴν μητέρα, καὶ ταύτην ἀφῃρέθην ὑπὸ τῶν ἁμαρτιῶν. Καὶ μὴ καταγελάσῃς μου ὡς ἐν τούτῳ τῆς ἡλικίας ὀρφανίαν ὀδυρομένου, ἀλλὰ σύγγνωθί μοι ψυχῆς χωρισμὸν ἀνεκτῶς μὴ φέροντι, ἧς οὐδὲν ἀντάξιον ἐν τοῖς λειπομένοις ὁρῶ. Πάλιν οὖν μοι ὑπέστρεψε τὰ ἀρρωστήματα καὶ πάλιν ἐπὶ κλίνης κατάκειμαι, ἐπὶ μικρᾶς παντελῶς τῆς δυνάμεως σαλεύων καὶ μόνον οὐχὶ ἐφ' ἑκάστης ὥρας τὸ ἀναγκαῖον πέρας τῆς ζωῆς ἐκδεχόμενος. Αἱ δὲ Ἐκκλησίαι σχεδόν τι παραπλησίως τῷ σώματι μου διάκεινται, ἀγαθῆς μὲν ἐλπίδος οὐδεμιᾶς ὑποφαινομένης, ἀεὶ δὲ πρὸς τὸ χεῖρον τῶν πραγμάτων ὑπορρεόντων. Τέως δὲ ἡ Νεοκαισάρεια καὶ ἡ Ἄγκυρα ἔδοξαν ἔχειν διαδόχους τῶν ἀπελθόντων, καὶ μέχρι τοῦ νῦν ἡσυχάζουσιν. Ἀλλ' οὐδὲ ἡμῖν οἱ ἐπιβουλεύοντες ποιῆσαί τι τοῦ θυμοῦ καὶ τῆς πικρίας ἄξιον μέχρι τοῦ παρόντος συνεχωρήθησαν. Καὶ τούτου τὴν αἰτίαν ταῖς σαῖς ὑπὲρ τῶν Ἐκκλησιῶν πρεσβείαις προδήλως ἡμεῖς ἀνατίθεμεν. Ὥστε μὴ ἀποκάμῃς προσευχόμενος ὑπὲρ τῶν Ἐκκλησιῶν καὶ δυσωπῶν τὸν Θεόν. Τοὺς καταξιωθέντας ἐξυπηρετεῖσθαι τῇ ὁσιότητί σου πάμπολλα πρόσειπε.

Ἐπιστολὴ 30. Ἐγράφη τὸ θέρος τοῦ 368. Ὁ Βασίλειος διατελεῖ ὑπὸ τὸ βάρος σοβαρᾶς ἀσθενείας, ἡ ὁποία ἐπεδεινώθη λόγῳ τῆς θλίψεως ἀπὸ τὸν θάνατον τῆς ἀγαπημένης μητρός του Ἐμμελίας. Ἀλλὰ τὸ ἐνδιαφέρον του διὰ τὰς Ἐκκλησίας ποὺ ἐχειμάζοντο ἀπὸ τὰς ἐπιβουλὰς τῆς ἀρειανικῆς ἐξουσίας καὶ ἱεραρχίας ἦτο ἀδιάπτωτον.

29

ΕΠΙΣΤΟΛΗ 30
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Ἐὰν ἐπρόκειτο νὰ ἐκθέσω κατὰ σειρὰν ὅλας τὰς αἰτίας ποὺ μ' ἐκράτησαν ἐδῶ ἕως σήμερα, ἂν καὶ τόσον πολὺ ἐπιθυμῶ νὰ ξεκινήσω πρὸς τὴν θεοσέβειάν σου, θὰ συνέτασσα ἱστορίαν ἀπεράντου μήκους. Τὰς ἀλλεπαλλήλους μὲν νόσους καὶ τὴν βαρύτητα τοῦ χειμῶνος καὶ τὴν πίεσιν τῶν ἀσχολιῶν, τὰς παραλείπω, διότι εἶναι γνώριμα πράγματα καὶ ἔχουν ἀναφερθῆ προηγουμένως εἰς τὴν τελειότητά σου. Τώρα δὲ καὶ ἐκείνην τὴν μοναδικὴν παραμυθίαν ποὺ εἶχα εἰς τὸν βίον μου, τὴν μητέρα, τὴν ἔχασα καὶ αὐτὴν διὰ τὰς ἁμαρτίας μου. Καὶ μὴ γελάσῃς εἰς βάρος μου ποὺ κλαίω τὴν ὀρφανίαν εἰς τοιαύτην ἡλικίαν· ἀλλὰ νὰ μὲ συγχωρήσῃς ποὺ δὲν ἔχω τὴν δύναμιν νὰ ὑποφέρω εὔκολα τὸν χωρισμὸν μιᾶς ψυχῆς ποὺ δὲν βλέπω τίποτε ἀντάξιον μεταξὺ αὐτῶν ποὺ ἔμειναν ἐδῶ. Πάλιν λοιπὸν ἐγύρισαν αἱ ἀρρώστειαι καὶ πάλιν εἶμαι ξαπλωμένος εἰς τὸ κρεββάτι, συγκρατούμενος ἀπὸ μίαν ἐλαχίστην δύναμιν καὶ ἀναμένων ἀνὰ πᾶσαν στιγμὴν τὸ ἀναπόφευκτον τέλος τῆς ζωῆς.

Αἱ δὲ Ἐκκλησίαι εὑρίσκονται εἰς παραπλησίαν μὲ τὸ σῶμά μου κατάστασιν καὶ δὲν φαίνεται πουθενὰ καμμία ἀγαθὴ ἐλπίς, πάντοτε δὲ πρὸς τὸ χειρότερον βαδίζουν τὰ πράγματα. Ἐν τῷ μεταξὺ ἡ Νεοκαισάρεια καὶ ἡ Ἄγκυρα ἀπεφάσισαν καὶ ἀπέκτησαν διαδόχους τῶν ἀπελθόντων ἐπισκόπων, οἱ ὁποῖοι ἕως τώρα παραμένουν ἥσυχοι. Εἶναι δὲ ἀλήθεια ὅτι οἱ ἐπιβουλεύοντες δὲν κατώρθωσαν ἕως τώρα οὔτε εἰς βάρος ἡμῶν νὰ κάμουν κάτι ἀντάξιον τοῦ θυμοῦ καὶ τῆς πικρίας των. Τούτου δὲ τὴν αἰτίαν ἡμεῖς ἀποδίδομεν εἰς τὰς ἰδικάς σου ὑπὲρ τῶν Ἐκκλησιῶν μεσιτεύσεις. Ὥστε νὰ μὴ ἀποκάμῃς προσευχόμενος ὑπὲρ τῶν Ἐκκλησιῶν καὶ ἱκετεύων τὸν Θεόν.

Εἰς τοὺς ἔχοντας τὴν τιμὴν νὰ ὑπηρετοῦν τὴν ὁσιότητά σου δῶσε θερμοὺς χαιρετισμούς.

30

34. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Πῶς ἂν σιωπήσαιμεν ἐπὶ τοῖς παροῦσιν ἤ, τοῦτο καρτερεῖν μὴ δυνάμενοι, ἄξιόν τινα λόγον τῶν γινομένων εὕροιμεν, ὥστε μὴ στεναγμῷ προσεοικέναι τὴν φωνὴν ἡμῶν, ἀλλὰ θρήνῳ τοῦ κακοῦ τὸ βάρος ἀρκούντως διασημαίνοντι; Οἴχεται ἡμῖν καὶ ἡ Ταρσός. Καὶ οὐ τοῦτο μόνον δεινόν, καίπερ ἀφόρητον ὄν· ἔστι γὰρ τούτου χαλεπώτερον· πόλιν τοσαύτην, οὕτως ἔχουσαν εὐκληρίας ὥστε Ἰσαύρους καὶ Κίλικας καὶ Καππαδόκας καὶ Σύρους δι' ἑαυτῆς συνάπτειν, ἑνὸς ἢ δυοῖν ἀπονοίαις ἀνθρώπων ὀλέθρου γενέσθαι πάρεργον, μελλόντων ὑμῶν καὶ βουλευομένων καὶ πρὸς ἀλλήλους ἀποσκοπούντων. Κράτιστον οὖν, κατὰ τὴν τῶν ἰατρῶν ἐπίνοιαν (πάντως δέ μοι πολλὴ ἀφθονία, διὰ τὴν σύνοικον ἀρρωστίαν, τῶν τοιούτων παραδειγμάτων), οἶ, ἐπειδὰν τὸ τῆς ὀδύνης μέγεθος ὑπερβάλλῃ, ἀναισθησίαν τῇ ἐπινοίᾳ ἐπιτεχνῶνται τῷ κάμνοντι, καὶ ταῖς ἡμετέραις αὐτῶν ψυχαῖς, ὡς μὴ ταῖς ἀφορήτοις ὀδύναις συνέχεσθαι, ἀναλγησίαν τῶν κακῶν συνεύξασθαι. Οὐ μὴν ἀλλά, καίπερ οὕτως ἀθλίως ἔχοντες, μιᾷ παραμυθίᾳ κεχρήμεθα πρὸς τὴν σὴν ἀπιδεῖν ἡμερότητα καὶ ἐκ τῆς σῆς ἐννοίας καὶ μνήμης πραῦναι τῆς ψυχῆς τὸ λυπούμενον. Ὥσπερ γὰρ τοῖς ὀφθαλμοῖς, ἐπειδάν ποτε συντόνως τὰ λαμπρὰ καταβλέψωσι, φέρει τινὰ ῥαστώνην πρὸς τὰ κυανὰ καὶ χλοάζοντα τῶν χρωμάτων ἐπανελθεῖν, οὕτω καὶ ταῖς ἡμετέραις ψυχαῖς οἷον πραεῖά τις ἐπαφὴ τὸ ὀδυνηρὸν ἐξαιροῦσα ἡ μνήμη τῆς σῆς πραότητος καὶ ἐμμελείας ἐστί, καὶ μάλιστα ὅταν ἐνθυμηθῶμεν ὅτι τὸ κατὰ σεαυτὸν ἅπαν ἐπλήρωσας.

Ἐπιστολὴ 34. Ἐγράφη τὸ 369. Μετὰ τὸν θάνατον τοῦ ἐπισκόπου Ταρσοῦ Σιλουανοῦ, ὁ ὁποῖος ἦτο φίλος τοῦ Εὐσεβίου Σεβαστείας καὶ παρομοίας μὲ αὐτὸν ἀσταθείας εἰς τὰ δογματικὰ θέματα, οἱ ὀρθόδοξοι ἐπίσκοποι καθυστέρησαν πολὺ μὲ τὰς συζητήσεις των εἰς τὴν ἐκλογὴν διαδόχου αὐτοῦ καὶ οὕτως οἱ Ἀρειανοὶ ἐπέτυχαν νὰ ἐγκαταστήσουν Ἰδικόν των. Παρὰ ταῦτα οἱ πλεῖστοι τῶν κληρικῶν τῆς ἐπαρχίας αὐτῆς παρέμειναν ὀρθόδοξοι καὶ εἰς κοινωνίαν μὲ τὸν Βασίλειον.

30

ΕΠΙΣΤΟΛΗ 34
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Πῶς ἠμπορεῖ νὰ σιωπήσωμεν διὰ τὴν παροῦσαν κατάστασιν; Ἤ, ἂν δὲν δυνάμεθα νὰ ὑπομείνωμεν τοῦτο, πῶς ἠμπορεῖ νὰ εὕρωμεν λόγους ἀξίους τῶν συμβαινόντων, ὥστε ἡ φωνή μας νὰ μὴ ὁμοιάζῃ μὲ στεναγμόν, ἀλλὰ μὲ θρῆνον μαρτυροῦντα ἐπαρκῶς τὸ μέγεθος τοῦ κακοῦ; Μᾶς ἔφυγε καὶ ἡ Ταρσὸς τώρα. Καὶ δὲν εἶναι τοῦτο τὸ μόνον δεινόν, ἂν καὶ εἶναι ἀφόρητον· ὑπάρχει κάτι χειρότερον ἀπὸ αὐτό· τὸ ὅτι μία τόσον μεγάλη πόλις, μὲ τοιαύτην κατάλληλον θέσιν, ὥστε νὰ φέρῃ δι' ἑαυτῆς εἰς συνάφειαν τοὺς Ἰσαύρους καὶ τοὺς Κίλικας, τοὺς Καππαδόκας καὶ τοὺς Σύρους, παρεδόθη εἰς καταστροφὴν ὡς ἀποτέλεσμα τῆς μανίας ἑνὸς ἢ δύο ἀνθρώπων, ἐνῷ σεῖς καθυστερούσατε καὶ συνεσκέπτεσθε καὶ ἐκυττάζατε ὁ ἕνας τὸν ἄλλον. Θεωρῶ λοιπὸν ἄριστον μέσον τὸ ἑξῆς· υἱοθετοῦντες τὸ τέχνασμα τῶν ἰατρῶν (ἔχω, βλέπεις, ἀφθονίαν τοιούτων παραδειγμάτων, λόγῳ τῆς ἀσθενείας ποὺ μὲ ταλαιπωρεῖ), οἱ ὁποῖοι, ὅταν τὸ μέγεθος τῆς ὀδύνης καταστῇ ὑπερβολικόν, ἐπινοοῦν διὰ τὸν ἀσθενῆ ἀναισθησίαν τῶν πόνων μὲ φάρμακα, νὰ εὐχηθῶμεν νὰ εὑρεθῇ κάποιον ἀναλγητικὸν καὶ διὰ τὰς ψυχάς μας, ὥστε νὰ μὴ πληττώμεθα ἀπὸ τὰς ἀφορήτους ὀδύνας.

Ἀλλὰ πάντως, μολονότι εὑρισκόμεθα εἰς τοιαύτην ἀθλιότητα, ἔχομεν μίαν παρηγορίαν, τὸ ν' ἀποβλέπωμεν εἰς τὴν ἡμερότητά σου καὶ νὰ πραΰνωμεν τὴν λύπην τῆς ψυχῆς μὲ τὴν σκέψιν καὶ ἀνάμνησίν σου. Διότι, ὅπως ἀκριβῶς οἱ ὀφθαλμοί, ὅταν καμμίαν φορὰν προσβλέψουν ἀντικείμενα ἐντόνως ἀκτινοβολοῦντα, εὑρίσκουν κάποιαν ἀνάπαυσιν ἐὰν ἐπανέλθουν εἰς γαλάζια καὶ πράσινα χρώματα, ἔτσι καὶ εἰς τὰς ψυχάς μας ἡ μνήμη τῆς πραότητος καὶ ἐμμελείας εἶναι σὰν εὐγενὴς ἐπαφὴ ποὺ ἀφαιρεῖ κάθε αἴσθημα πόνου· καὶ μάλιστα, ὅταν λάβωμεν ὑπ' ὄψιν ὅτι σὺ ἐξεπλήρωσες ὁλόκληρον τὸ καθῆκον

Ἐξ ὧν ἱκανῶς καὶ ἡμῖν τοῖς ἀνθρώποις, ἐὰν εὐγνωμόνως τὰ πράγματα κρίνωμεν, ὡς οὐδὲν ἐκ τῆς σῆς αἰτίας ἀπόλωλεν ἐνεδείξω, καὶ παρὰ Θεῷ τῆς τῶν καλῶν προθυμίας μέγαν σεαυτῷ τὸν μισθὸν κατεκτήσω. Χαρίσαιτο δέ σε ἡμῖν καὶ ταῖς ἑαυτοῦ Ἐκκλησίαις ὁ Κύριος, ἐπ' ὠφελείᾳ τοῦ βίου καὶ διορθώσει τῶν ψυχῶν ἡμῶν, καὶ καταξιώσειε πάλιν τῆς ἐπωφελοῦς συντυχίας σου.

31

48. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Μόλις ἡμῖν ὑπῆρξεν ἐπιτυχεῖν διακόνου γραμμάτων πρὸς τὴν σὴν θεοσέβειαν, ἐπεὶ οἴγε παρ' ἡμῖν οὕτω κατέπτηξαν τὸν χειμῶνα ὡς μηδὲ τὸ μικρότατον προκύπτειν τῶν δωματίων ἀνέχεσθαι. Καὶ γὰρ τοσούτῳ πλήθει χιόνων κατενίφημεν ὡς αὐτοῖς οἴκοις καταχωσθέντες δύο μῆνας ἤδη ταῖς καταδύσεσιν ἐμφωλεύειν. Συγγνώσει οὖν πάντως ἡμῖν τό τε ἄτολμον τῶν Καππαδοκῶν ἠθῶν καὶ τὸ τῶν σωμάτων δυσκίνητον ἐπιστάμενος, εἰ μὴ θᾶττον ἐπεστείλαμεν, μηδ' εἰς γνῶσιν ἠγάγομεν τῇ τιμιότητί σου τὰ ἀπὸ τῆς Ἀντιοχείας, ἃ πάντως γνωρίζειν σοι ἕωλόν ἐστι καὶ ψυχρὸν πάλαι μεμαθηκότι, ὡς τὸ εἰκός· πλὴν ἀλλ' οὐδὲν ἡγούμενοι

Ἐπιστολὴ 48. Ἐγράφη εἰς τὰς ἀρχὰς τοῦ 371. Ὁ Βασίλειος, ἀρχιεπίσκοπος πλέον, γράφει εἰς τὸν Εὐσέβιον διὰ νὰ τοῦ δώσῃ πληροφορίας περὶ τῆς καταστάσεως εἰς μερικὰς ἀπὸ τὰς σπουδαιοτάτας Ἐκκλησίας καὶ νὰ δικαιολογήσῃ τὴν ἀργοπορίαν εἰς τὴν ταχυδρομικὴν ἐπικοινωνίαν ἐκ τοῦ βαρυτάτου χειμῶνος.

σου, ὅσον ἐξηρτᾶτο ἀπὸ ἐσέ. Μὲ τὰς ἐνεργείας σου ἀφ' ἑνὸς μὲν ἀπέδειξες ὅτι δὲν ἐχάθη τίποτε ἐξ αἰτίας σου, ἂν κρίνωμεν δικαίως τὰ πράγματα, ἀφ' ἑτέρου δὲ κατέκτησες δι' ἑαυτὸν ἀπὸ τὸν Θεὸν μεγάλον μισθὸν λόγῳ τοῦ ζήλου σου διὰ τὰ καλά.

Εἴθε νὰ σὲ χαρίσῃ ὁ Κύριος εἰς ἡμᾶς καὶ εἰς τὰς Ἐκκλησίας αὐτοῦ, πρὸς ὠφέλειαν τῆς ζωῆς καὶ διόρθωσιν τῶν ψυχῶν μας, καὶ εἴθε νὰ μὲ καταξιώσῃ πάλιν τοῦ προνομίου νὰ σὲ συναντήσω.

31

ΕΠΙΣΤΟΛΗ 48
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Μὲ δυσκολίαν κατωρθώσαμεν νὰ εὕρωμεν γραμματοκομιστὴν πρὸς τὴν θεοσέβειάν σου, ἐπειδὴ οἱ ἄνθρωποι ἐδῶ τρέμουν τὸν χειμῶνα τόσον πολύ, ὥστε δὲν τολμοῦν οὔτε δι' ὀλίγον νὰ ξεμυτίσουν ἀπὸ τὰ δωμάτιά των. Πράγματι δὲ τόσον πολὺ μᾶς ἔπνιξε τὸ χιόνι, ὥστε ἐπὶ δύο μῆνας τώρα ζῶμεν εἰς τὰς φωλεάς μας, σὰν νὰ ἔχωμεν καταχωσθῆ μαζὶ μὲ τὰ σπίτια μας [1]. Θὰ μᾶς συγχωρήσῃς πάντως, ἀφοῦ γνωρίζεις καὶ τὴν χαρακτηριστικὴν ἀτολμίαν καὶ τὴν σωματικὴν δυσκινησίαν τῶν Καππαδοκῶν [2], ποὺ δὲν σοῦ ἐγράψαμεν ἐνωρίτερα καὶ δὲν ἐφέραμεν εἰς γνῶσιν τῆς τιμιότητός σου τὰ νέα περὶ τῆς καταστάσεως εἰς τὴν Ἀντιόχειαν, ποὺ εἶναι «μουχλιασμένα καὶ κρύα», διὰ νὰ σοῦ τὰ γνωστοποιήσωμεν τώρα, ἀφοῦ θὰ τὰ ἔμαθες

---

1. Εἶναι βεβαίως γνωστοὶ οἱ χειμῶνες τῆς Καππαδοκίας.

2. Ἀντιθέτως πρὸς ὅσα γράφει ἐδῶ ὁ Βασίλειος περὶ ἀτολμίας τῶν Καππαδοκῶν καὶ νωθρότητος, οὗτοι ἦσαν γνωστοὶ εἰς τὴν ἀρχαιότητα διὰ τὸ ἀτίθασον τοῦ χαρακτῆρος μαζὶ μὲ τοὺς Κρῆτας καὶ τοὺς Κίλικας, «τρία κάππα κάκιστα». Ἀλλ' ἴσως μὲ τὸν ἐξελληνισμόν των εἶχαν γίνει ὄχι μόνον ἥμεροι, ἀλλὰ καὶ νωθροί.

πρᾶγμα καὶ τὰ ἐγνωσμένα σημαίνειν, ἀπεστείλαμεν τὰς διὰ τοῦ ἀναγνώστου κομισθείσας ἐπιστολάς. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἡ δὲ Κωνσταντινούπολις ἔχει τὸν Δημόφιλον πολὺν ἤδη χρόνον, ὡς καὶ αὐτοὶ οὗτοι ἀπαγγελοῦσι καὶ προκεκήρυκται πάντως τῇ ὁσιότητί σου. Καί τι περὶ αὐτὸν πλάσμα ὀρθότητος καὶ εὐλαβείας παρὰ πάντων συμφώνως τῶν ἀφικνουμένων θρυλεῖται, ὡς καὶ τὰ διεστῶτα τῆς πόλεως μέρη εἰς ταὐτὸν συνελθεῖν καὶ τῶν πλησιοχώρων τινὰς ἐπισκόπων τὴν ἕνωσιν καταδέξασθαι. Οἱ δ' ἡμέτεροι οὐδὲν ἀμείνους ἐφάνησαν τῶν ἐλπίδων. Ἐπιστάντες γὰρ εὐθὺς κατὰ πόδας τῆς ὑμετέρας ἐξόδου, πολλὰ μὲν εἶπαν λυπηρά, πολλὰ δὲ ἐποίησαν, καὶ τέλος ἀνεχώρησαν βεβαιώσαντες ἡμῖν τὸ σχίσμα. Εἰ μὲν οὖν τι γενήσεται βέλτιον καὶ εἰ παύσονται τῆς κακίας, ἄδηλον παντὶ πλὴν ἢ τῷ Θεῷ. Τὰ μὲν παρόντα τοιαῦτα. Ἡ δὲ λοιπὴ Ἐκκλησία εὐσταθεῖ τῇ τοῦ Θεοῦ χάριτι, καὶ εὔχεται ὁμοῦ τῷ ἦρι ἰδεῖν σε πάλιν, ἐπι τῆς ἡμετέρας καὶ ἀνανεωθῆναι διὰ τῆς ἀγαθῆς σου διδασκαλίας. Κἀμοὶ δὲ τὸ σῶμα οὐδὲν ἄμεινον τῆς συνηθείας ἔχει.

3. Ὁ Δημόφιλος ἐξελέγη ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως τὸ 370 εἰς ἀντικατάστασιν τοῦ ἀποθανόντος Εὐδοξίου. Ἦτο μετριοπαθὴς ἀρειανὸς καὶ εἰς τὴν ἀρχὴν τῆς ἀρχιερατείας του ἐπέτυχε τὴν ἀναγνώρισίν του ἀπὸ πολλοὺς ὀρθοδόξους.

ἀπὸ καιρόν, ὅπως εἶναι φυσικόν. Ἐπειδὴ ὅμως δὲν τὸ νομίζομεν κουραστικὸν νὰ σοῦ ἀναφέρωμεν καὶ τὰ γνωστά, σοῦ ἀπεστείλαμεν τὰς ἐπιστολὰς ποὺ ἔφερεν ὁ ἀναγνώστης μας. Ἀρκετὰ αὐτὰ διὰ τὸ ζήτημα τοῦτο.

Ἡ δὲ Κωνσταντινούπολις ἔχει τὸν Δημόφιλον πολὺν καιρὸν τώρα [3], ὅπως θὰ σοῦ ἀναχοινώσουν προφορικῶς οἱ ἐπιφέροντες καὶ ὅπως ἀσφαλῶς ἔχει μάθει ἡ ὁσιότης σου. Κάποιο ἴχνος ὀρθοδοξίας καὶ εὐλαβείας φημολογεῖται δι' αὐτὸν ἐν συμφωνίᾳ ἀπὸ ὅλους ὅσοι ἔρχονται ἀπὸ ἐκεῖ· ὥστε καὶ τὰ ἀποσχισθέντα μέρη τῆς Ἐκκλησίας τῆς πόλεως νὰ ἐπανασυνδεθοῦν καὶ μερικοὶ ἀπὸ τοὺς γειτονικοὺς ἐπισκόπους νὰ δεχθοῦν τὴν ἕνωσιν.

Οἱ δὲ ἰδικοί μας [4] δὲν ἐφάνησαν ἀνώτεροι τῶν προσδοκιῶν μας· διότι εἰς μίαν ἐπίσκεψίν των εἰς ἡμᾶς εὐθὺς μετὰ τὴν ἀναχώρησίν σου, πολλὰ λυπηρὰ εἶπαν καὶ πολλὰ ἔκαμαν, τέλος δὲ ἀνεχώρησαν ἀφοῦ μᾶς ἐπεβεβαίωσαν τὴν ἀπόσχισίν των. Τώρα, κατὰ πόσον ἡ κατάστασις θὰ βελτιωθῇ καὶ κατὰ πόσον θὰ παραιτηθοῦν τῆς κακίας των, εἶναι ἄδηλον εἰς ὁποιονδήποτε ἄλλον πλὴν τοῦ Θεοῦ. Ἀρκετὰ λοιπὸν αὐτὰ διὰ τὴν παροῦσαν κατάστασίν μας.

Ἡ δὲ ὑπόλοιπος Ἐκκλησία μὲ τὴν χάριν τοῦ Θεοῦ εὐσταθεῖ καὶ εὔχεται μαζὶ μὲ τὴν ἄνοιξιν νὰ σὲ ἰδῇ πάλιν εἰς τὸν τόπον μας καὶ ν' ἀνανεωθῇ μὲ τὴν ἀγαθὴν διδασκαλίαν σου. Ὡς πρὸς δὲ τὸ σῶμά μου, δὲν εἶναι καθόλου καλύτερα ἀπὸ ὅσον συνηθίζει νὰ εἶναι.

---

4. Εἶναι ἡ μικρὰ ὁμὰς τῶν Ἀρειανῶν τῆς Καισαρείας, τῆς ὁποίας τὰ πλήθη ἦσαν μὲ τὸ πλευρὸν τοῦ Βασιλείου.

32

95. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Πάλαι ἐπιστείλας τῇ θεοσεβείᾳ σου ἄλλων τέ τινων ἕνεκεν καὶ τοῦ συντυχεῖν ἡμᾶς ἀλλήλοις, διήμαρτον τῆς ἐλπίδος, οὐκ ἀφικομένων τῶν γραμμάτων εἰς τὰς χεῖρας τῆς σῆς τιμιότητος, τοῦ μακαρίου διακόνου Θεοφράστου δεξαμένου μὲν τὰ γράμματα ἡμῶν ἐπί τινα περιοδίαν ἀναγκαίως ἀποδημούντων, μὴ διαπεμψαμένου δὲ τῇ θεοσεβείᾳ σου, τῷ προκαταληφθῆναι τῇ ἀρρωστίᾳ ὑφ' ἧς ἐτελεύτησεν. Ὅθεν τοσοῦτον ὕστερος ἦλθον τοῦ καιροῦ πρὸς τὸ γράφειν ὥστε μηδὲ ὄφελός τι ἐλπίζειν ἐκ τῆς ἐπιστολῆς ἔσεσθαι ταύτης, εἰς στενὸν παντελῶς κατακλεισθέντος τοῦ χρόνου. Ὁ γάρ τοι θεοφιλέστατος ἐπίσκοπος Μελέτιος καὶ Θεόδοτος ἐπέταξαν ἡμῖν πρὸς αὐτοὺς διαβῆναι, ἀγάπης τε ἐπίδειγμα τὴν συντυχίαν ποιούμενοι καί τινα καὶ διόρθωσιν γενέσθαι τῶν νῦν παραλυπούντων βουλόμενοι. Ἀπέδειξάν τε ἡμῖν χρόνον μὲν τῆς συντυχίας τὰ μέσα τοῦ προσιόντος μηνὸς Ἰουνίου, τόπον δὲ Φαργαμοῦν τὸ χωρίον ἐπίσημον μαρτύρων περιφανείᾳ καὶ πολυανθρωπίᾳ συνόδου τῆς κατὰ ἔτος ἕκαστον παρ' αὐτοῖς τελουμένης. Ἐπεὶ δὲ ἔδει με, μετὰ τὴν ἐπάνοδον μαθόντα τὴν κοίμησιν τοῦ μακαρίου διακόνου καὶ τὰς ἐπιστολὰς ἀργὰς παρ' ἡμῖν κειμένας, μὴ ἡσυχάσαι, διὰ τὸ ἔτι ἡμέρας ἡμῖν τριάκοντα καὶ τρεῖς ἐπὶ τὴν προθεσμίαν ὑπολελεῖφθαι, ἀπέστειλα κατὰ σπουδὴν τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ Εὐσταθίῳ τῷ συλλειτουργῷ ἡμῶν τὰ γράμματα ταῦτα, ὥστε δι' αὐτοῦ παραπεμφθῆναί σου τῇ σεμνότητι καὶ πάλιν ἐν τάχει ἀνακομισθῆναι ἡμῖν τὰς ἀποκρίσεις. Εἰ μὲν γὰρ δυνατὸν ἦ ἄλλως ἀρέσκον σοι παραγενέσθαι, καὶ αὐτοὶ παρεσό-

---

Ἐπιστολὴ 95. Ἐγράφη τὸν Μάϊον τοῦ 372 μὲ σκοπὸν νὰ καθορισθῇ συνάντησις τοῦ Βασιλείου μετὰ τῶν ἐπισκόπων Μελετίου Ἀντιοχείας καὶ Θεοδότου Νικοπόλεως πρὸς συζήτησιν τῶν φλεγόντων ζητημάτων τῆς Ἐκκλησίας εἰς τὰ πλαίσια τοῦ ὅλου ἐκκλησιαστικοῦ προγράμματος τοῦ πρώτου.

32

ΕΠΙΣΤΟΛΗ 95
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Ἂν καὶ συνέταξα γράμμα πρὸς τὴν θεοσέβειάν σου καὶ δι' ἄλλα ζητήματα καὶ διὰ μίαν συνάντησίν μας, ἀπέτυχα εἰς τὰς ἐλπίδας μου, διότι τὸ γράμμα δὲν ἔφθασεν εἰς τὰς χεῖρας τῆς τιμιότητός σου. Πράγματι ὁ μακαρίτης διάκονος Θεόφραστος παρέλαβε μὲν τὸ γράμμα ἀπὸ ἡμᾶς, καθ' ὃν χρόνον ἐξεκινούσαμεν διὰ μίαν ἀπαραίτητον περιοδείαν, δὲν τὸ ἀπέστειλεν ὅμως εἰς τὴν θεοσέβειάν σου, διότι ἐν τῷ μεταξὺ προσεβλήθη ἀπὸ τὴν ἀσθένειαν, λόγῳ τῆς ὁποίας ἀπέθανεν. Ὅθεν καθυστέρησα τόσον πολὺ νὰ γράψω ἐκ νέου, ὥστε νὰ μὴ ἐλπίζω ὅτι ἠμπορεῖ νὰ προέλθῃ κάποιον ὄφελος ἀπὸ αὐτὴν τὴν ἐπιστολήν, ἐφ' ὅσον τὰ περιθώρια τοῦ χρόνου εἶναι πλέον ἐντελῶς στενά. Διότι οἱ θεοφιλέστατοι ἐπίσκοποι Μελέτιος καὶ Θεόδοτος μᾶς παρήγγειλαν νὰ τοὺς ἐπισκεφθῶμεν, θεωροῦντες αὐτὴν τὴν συνάντησιν ὡς ἐπίδειξιν ἀγάπης καὶ θέλοντες ἐπίσης νὰ ἐπιτευχθῇ κάποια διόρθωσις τῶν πραγμάτων τὰ ὁποῖα τόσον πολὺ μᾶς λυποῦν τώρα. Ὑπέδειξαν δὲ εἰς ἡμᾶς χρόνον μὲν τῆς συναντήσεως τὰ μέσα τοῦ προσεχοῦς μηνὸς Ἰουνίου, τόπον δὲ τὸ χωριὸν Φαργαμοῦς, διάσημον ἐκ τῶν ἐνδόξων μαρτύρων του καὶ τῆς πολυανθρώπου συναθροίσεως ἡ ὁποία συνέρχεται ἐκεῖ κάθε χρόνον.

Ἐπειδὴ δέ, ἀφοῦ μετὰ τὴν ἐπάνοδόν μου ἔμαθα τὴν κοίμησιν τοῦ μακαρίτου διακόνου καὶ ἀντελήφθην ὅτι ἡ ἐπιστολὴ ἔμεινεν ἄθικτος ἐδῶ, δὲν ἠδυνάμην νὰ ἡσυχάσω, διότι μόνον τριάντα τρεῖς ἡμέραι μᾶς ὑπελείποντο διὰ τὴν προθεσμίαν, ἀπέστειλα κατεπειγόντως τὰ γράμματα αὐτὰ εἰς τὸν αἰδεσιμώτατον ἀδελφὸν Εὐστάθιον, τὸν συλλειτουργόν μας, ὥστε ὑπ' αὐτοῦ νὰ διαβιβασθοῦν εἰς τὴν σεμνότητά σου καὶ πάλιν μὲ ταχύτητα ν' ἀποσταλοῦν εἰς ἡμᾶς αἱ ἀποκρίσεις. Καὶ ἂν μὲν σοῦ εἶναι δυνατὸν ἢ γενικῶς σοῦ ἀρέσῃ νὰ ἔλθῃς ἐκεῖ, θὰ

μεθα· εἰ δὲ μή, αὐτοὶ μέν, ἂν ὁ Θεὸς θέλῃ, τὸ περυσινὸν ἀποτίσομεν χρέος τῆς συντυχίας, ἐὰν μή τι πάλιν ἐπιγένηται ἡμῖν ἐξ ἁμαρτιῶν κώλυμα, τὴν δὲ τῶν ἐπισκόπων ἔντευξιν εἰς ἕτερον χρόνον ὑπερθησόμεθα.

33

98. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

1. Πάνυ ὡρμημένος καταλαβεῖν τὴν Νικόπολιν, μετὰ τὸ δέξασθαι τὰ παρὰ τῆς κοσμιότητός σου γράμματα ἄρνησιν ἔχοντα τῆς ἀφίξεως, παρείθην ὑπὸ τῆς ἀθυμίας καὶ πάσης ὁμοῦ τῆς ἀσθενείας ἀνεμνήσθην. Ἦλθε δέ μοι εἰς ἔννοιαν καὶ ἡ τῶν κεκληκότων ἀφοσίωσις, ὅτι, παροδικὴν πρὸς ἡμᾶς ποιησάμενοι τὴν κλῆσιν διὰ τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Ἑλληνίου τοῦ ἐξισοῦντος Ναζιανζόν, δεύτερον περὶ τῶν αὐτῶν ὑπομιμνήσκοντα ἢ ὁδηγοῦντα ἡμᾶς οὐ κατηξίωσαν ἀποστεῖλαι. Ἐπεὶ οὖν ὕποπτοι αὐτοῖς ἐσμεν διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐφοβήθημεν μή που τὸ φαιδρὸν αὐτοῖς τῆς πανηγύρεως τῇ παρουσίᾳ ἡμῶν ἐπιθολώσωμεν. Μετὰ μὲν γὰρ τῆς σῆς μεγαλοφυΐας καὶ πρὸς τοὺς μεγάλους ἀποδύσασθαι πειρασμοὺς οὐκ ὀκνοῦμεν, ἄνευ δὲ σοῦ οὐδὲ ταῖς τυχούσαις θλίψεσιν

Ἐπιστολὴ 98. Ἐγράφη ὀλίγον πρὸ τῶν μέσων τοῦ Ἰουνίου τοῦ 372. Εἶναι σχετικὴ μὲ τὴν ἐπιστολὴν 95, εἰς τὴν ὁποίαν ἀναφέρεται πρόσκλησις τοῦ Θεοδότου Νικοπόλεως τῆς Μικρᾶς Ἀρμενίας πρὸς τὸν Βασίλειον διὰ νὰ συζητήσουν ἐκκλησιαστικὰ θέματα.

παρευρεθῶμεν καὶ ἡμεῖς· εἰ δὲ μή, τότε ἡμεῖς μὲν θὰ ἐκπληρώσωμεν τὸ περυσινὸν χρέος τῆς συναντήσεως, ἐὰν θέλῃ ὁ Θεὸς καὶ δὲν μεσολαβήσῃ πάλιν κάποιο ἐμπόδιον λόγῳ τῶν ἁμαρτιῶν μας, τὴν δὲ συνάντησιν μὲ τοὺς ἐπισκόπους θὰ ἀναβάλωμεν δι' ἄλλην ἐποχήν.

33

ΕΠΙΣΤΟΛΗ 98
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

1. Ἂν καὶ ἦτο ζωηρὰ ἡ ἐπιθυμία μου νὰ ἐπισκεφθῶ τὴν Νικόπολιν, μόλις ἔλαβα τὴν ἐπιστολὴν τῆς ὁσιότητός σου, τὴν περιέχουσαν δήλωσιν ὅτι δὲν θὰ μεταβῇς ἐκεῖ, παρῃτήθην τῆς ἐπιθυμίας καὶ ταυτοχρόνως ἐνεθυμήθην ὅλην τὴν ἀσθένειάν μου. Ἦλθε δὲ εἰς τὴν σκέψιν μου καὶ τὸ εἶδος τῆς πρὸς ἐμὲ ἐκτιμήσεως τῶν ἀνθρώπων ποὺ μ' ἐκάλεσαν, διότι, ἀφοῦ μ' ἐκάλεσαν μὲ πρόχειρον πρόσκλησιν διὰ μέσου τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Ἑλληνίου, τοῦ οἰκονομικοῦ ἐφόρου Ναζιανζοῦ, δὲν ἔκαμαν τὸν κόπον νὰ στείλουν ἔπειτα κάποιον ἄλλον, διὰ νὰ μᾶς τὸ ὑπενθυμίσῃ ἢ νὰ μᾶς συνοδεύσῃ.

Ἐπειδὴ λοιπὸν λόγῳ τῶν ἁμαρτιῶν μας εἴμεθα ὕποπτοι εἰς αὐτούς [1], ἐφοβήθημεν μήπως διὰ τῆς παρουσίας μας διαταράξωμεν τὴν φαιδρότητα τῆς πανηγύρεώς των. Διότι μαζὶ μὲ τὴν μεγαλοφυΐαν σου δὲν διστάζομεν νὰ εἰσέλθωμεν ἀκόμη καὶ εἰς μεγάλους πειρασμούς, χωρὶς ἐσὲ ὅμως δὲν ἔχομεν ἀρκετὴν αὐτοπεποίθησιν οὔτε τὰς τυχούσας θλίψεις ν' ἀντιμετωπί-

1. Ὁ Θεόδοτος Νικοπόλεως ἐθεωροῦσε τὸν Εὐστάθιον Σεβαστείας ὡς ἀρειανόφιλον, ἐνῷ ὁ Βασίλειος εἶχε μὲ αὐτὸν στενὴν φιλίαν, ἐξ οὗ καὶ ἡ δυσαρέσκεια περὶ τῆς ὁποίας ὁμιλεῖ ὁ συντάκτης. Ἡ πρόσκλησις βεβαίως προήρχετο ἀπὸ τὸν Θεόδοτον καὶ αὐτὸν ἔχει εἰς τὸν νοῦν του ὁ Βασίλειος, ὅταν λέγῃ ὅτι δὲν τὸν ἐκτιμοῦν καὶ τὸν θεωροῦν ὕποπτον οἱ ἐν Νικοπόλει. Τοῦτο ὅμως δὲν ἀνταπεκρίνετο εἰς τὰ πράγματα, διότι μόνον τὴν πρὸς τὸν Εὐστάθιον φιλίαν του ἀπεδοκίμαζαν.

ἀντιβλέπειν αὐτάρκως ἔχομεν. Ἐπεὶ οὖν ἐκκλησιαστικῶν ἕνεκεν γίνεσθαι ἡμῶν ἡ πρὸς αὐτοὺς ἔντευξις ἔμελλε, τὸν μὲν τῆς πανηγύρεως καιρὸν παρελίπομεν, εἰς ἡσυχίαν δὲ καὶ ἀτάραχον διαγωγὴν τὴν συντυχίαν ὑπερεθέμεθα καὶ προῃρήμεθα καταλαβόντες τὴν Νικόπολιν διαλεχθῆναι περὶ τῶν ταῖς Ἐκκλησίαις ἀναγκαίων τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Μελετίῳ, εἰ μέλλοι παραιτεῖσθαι τὴν ἐπὶ Σαμόσατα ὁδόν· εἰ δὲ μή, αὐτοῦ συνδραμούμεθα, ἐὰν παρ' ἀμφοτέρων τοῦτο ἡμῖν κατάδηλον γένηται, παρά τε αὐτοῦ ἐκείνου ἀντιγράψαντος ἡμῖν περὶ τούτων (ἐπεστείλαμεν γὰρ) καὶ παρὰ τῆς σῆς θεοσεβείας.

2. Ἐπισκόποις δὲ τοῖς ἐκ τῆς δευτέρας Καππαδοκίας συντυγχάνειν ἐμέλλομεν· οἳ, ἐπειδὴ ἑτέρας ὠνομάσθησαν ἐπαρχίας, ἐνόμισαν ἀθρόως καὶ ἀλλοεθνεῖς καὶ ἀλλόφυλοι πρὸς ἡμᾶς γεγενῆσθαι· οἳ τοσοῦτον ἡμᾶς ἠγνόησαν ὅσον οἱ μηδὲ τὴν ἀρχὴν πεπειραμένοι μηδὲ εἰς λόγους ποτὲ ἀφικόμενοι. Προσεδοκᾶτο δὲ καὶ ἑτέρα συντυχία τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Εὐσταθίου, ἡ καὶ γενομένη ἡμῖν. Διὰ γὰρ τὸ παρὰ πολλῶν καταβοᾶσθαι αὐτὸν ὡς περὶ τὴν πίστιν παραχαράσσοντά τι, ἀφικόμεθα αὐτῷ εἰς λόγους καὶ εὕρομεν σὺν Θεῷ πρὸς πᾶσαν ὀρθότητα εὐγνωμόνως ἀκολουθοῦντα. Τὰ δὲ τῶν ἐπισκόπων γράμματα παρὰ τὴν αἰτίαν αὐτῶν ἐκείνων οὐκ ἐκομίσθη τῇ τιμιότητί σου οὓς ἐχρῆν τὰ παρ' ἡμῶν διαπέμψασθαι, ἀλλὰ καὶ ἐμὲ παρῆλθε τῇ συνεχείᾳ τῶν φροντί-

2. Ἐννοεῖ τὸν Μελέτιον Ἀντιοχείας, ὁ ὁποῖος θὰ μετεῖχεν ἐπίσης τῆς συσκέψεως μετὰ τοῦ Βασιλείου καὶ τοῦ Θεοδότου ποὺ θὰ ἐγίνετο εἰς τὸ χωρίον Φαργαμοῦς. Τελικῶς ὁ Βασίλειος μετέβη εἰς τὴν Νικόπολιν.

3. Ἡ Δευτέρα Καππαδοκία, μὲ πρωτεύουσαν τὸ ἄσημον χωρίον Ποδανδός, εἶχεν ἱδρυθῆ προσφάτως δι' ἀποσπάσεως τμήματος τῆς ὅλης Καππαδοκίας, ἐκκλησιαστική της δὲ πρωτεύουσα ἦσαν τὰ Τύανα.

4. Ὁ Βασίλειος ἐγνώριζεν ὅτι ὁ Θεόδοτος κατὰ τὴν συνάντησιν θὰ κατέκρινε τὸν Εὐστάθιον Σεβαστείας ὡς αἱρετικόν· διὰ τὸν λόγον δὲ τοῦτον ἐξησφάλισε προηγουμένην συνάντησιν μὲ αὐτόν, διὰ νὰ διευκρινήσῃ τὰς

σωμεν. Ἐπειδὴ λοιπὸν ἡ συνάντησις μὲ αὐτοὺς ἐπρόκειτο νὰ γίνῃ δι' ἐκκλησιαστικὰ θέματα, ἀφήσαμεν νὰ περάσῃ ἡ περίοδος τῆς πανηγύρεως, ἀνεβάλαμεν δὲ τὴν συνάντησιν δι' ἥσυχον καὶ ἀτάραχον ἐποχὴν καὶ ἀπεφασίσαμεν νὰ ἐπισκεφθῶμεν τὴν Νικόπολιν πρὸς συζήτησιν μὲ τὸν θεοφιλέστατον ἐπίσκοπον Μελέτιον [2] περὶ τῶν ἀναγκῶν τῶν Ἐκκλησιῶν, ἐὰν πρόκειται νὰ παραιτηθῇ τοῦ ταξιδίου του εἰς τὰ Σαμόσατα. Ἐὰν ὅμως δὲν παραιτηθῇ, θὰ ἔλθωμεν αὐτοῦ μαζὶ μὲ αὐτόν, ἐφ' ὅσον μᾶς διασαφηνισθῇ τοῦτο καὶ ἀπὸ τοὺς δύο σας, δηλαδὴ καὶ ἀπὸ ἐκεῖνον τὸν ἴδιον εἰς ἀπάντησιν σχετικοῦ γράμματός μας καὶ ἀπὸ τὴν θεοσέβειάν σου.

2. Ἐπρόκειτο δὲ νὰ συναντήσω μερικοὺς ἐπισκόπους ἀπὸ τὴν Δευτέραν Καππαδοκίαν, οἱ ὁποῖοι, ἐπειδὴ ἐπῆραν τὸ ὄνομα ἄλλης ἐπαρχίας [3], ἐνόμισαν ἀμέσως ὅτι ἔγιναν ἀλλοεθνεῖς καὶ ἀλλόφυλοι πρὸς ἡμᾶς, διότι μᾶς ἠγνόησαν τόσον ὁλοσχερῶς ὅσον δὲν τὸ ἔκαμαν οὔτε ἐκεῖνοι ποὺ δὲν ἔχουν γνωρισθῇ μὲ ἡμᾶς καθόλου καὶ δὲν ἦλθαν ποτὲ εἰς ἐπαφὴν μαζί μας. Ἐπίσης ἀνεμένετο καὶ μία ἄλλη συνάντησις, μὲ τὸν αἰδεσιμώτατον ἐπίσκοπον Εὐστάθιον [4], ἡ ὁποία καὶ ἐπραγματοποιήθη. Ἐπειδὴ πολλοὶ τὸν ἐπέκριναν ὡς παραχαράσσοντα μερικὰ σημεῖα τῆς πίστεως, ἠνοίξαμεν συζήτησιν μὲ αὐτόν, καὶ σὺν Θεῷ εὕρομεν ὅτι ἀκολουθεῖ μὲ φρόνησιν τὴν ὀρθοδοξίαν εἰς ὅλην τὴν γραμμήν.

Τὸ δὲ γράμμα τῶν ἐπισκόπων [5] δὲν μετεφέρθη εἰς τὴν τιμιότητά σου ἐξ αἰτίας ἐκείνων τῶν ἰδίων, οἱ ὁποῖοι ἔπρεπε νὰ διαβιβάσουν καὶ τὸ ἰδικόν μου. Ἀλλὰ καὶ ἐγὼ δὲν τὸ ἐπρόσεξα καὶ λόγῳ τῶν συνεχῶν φροντίδων μοῦ διέφυγε.

ἀπόψεις του. Κατόπιν μακρᾶς συζητήσεως τὸν εὗρε καθ' ὅλα ὀρθόδοξον, ἀλλ' ἐπρόκειτο νὰ διαψευσθῇ· ὁ φίλος Εὐστάθιος μετεβλήθη εἰς ἐχθρόν του καὶ εἰς φανερὸν φιλαρειανόν, ἐνῷ ὁ Θεόδοτος ἔγινε φίλος του.

5. Πρόκειται πιθανῶς περὶ τοῦ γράμματος τῶν ἐπισκόπων τῆς Δύσεως. Ὁ Βασίλειος εἶχεν ἀναθέσει εἰς τὸν διάκονον Θεόφραστον νὰ τὸ διαβιβάσῃ, μαζὶ μὲ ἐπιστολὴν ἰδικήν του, αὐτὸς ὅμως ἀσθενήσας ἀπέθανε. Βλέπε ἐπιστολὴν 95.

δων ἐκκρουσθέντα τῆς μνήμης. Τὸν δὲ ἀδελφὸν Γρηγόριον κἀγὼ ἠβουλόμην οἰκονομεῖν Ἐκκλησίαν τῇ αὐτοῦ φύσει σύμμετρον. Αὕτη δὲ ἦν πᾶσα εἰς ἓν συναχθεῖσα ἡ ὑφ' ἡλίῳ. Ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, ἔστω ἐπίσκοπος, μὴ ἐκ τοῦ τόπου σεμνυνόμενος, ἀλλὰ τὸν τόπον σεμνύνων ἀφ' ἑαυτοῦ. Ὄντως γὰρ μεγάλου ἐστὶν οὐ τοῖς μεγάλοις μόνον ἀρκεῖν, ἀλλὰ καὶ τὰ μικρὰ μεγάλα ποιεῖν τῇ ἑαυτοῦ δυνάμει. Τί δὲ δεῖ ποιῆσαι τῷ Παλματίῳ, μετὰ τοσαύτας παρακλήσεις τῶν ἀδελφῶν ἔτι ὑπηρετοῦντι τῷ Μαξίμῳ πρὸς τοὺς διωγμούς; Ἀλλ' ὅμως οὐδὲ νῦν ὀκνοῦσιν ἐπιστεῖλαι· παραγενέσθαι γὰρ καὶ ὑπὸ ἀσθενείας σώματος καὶ ὑπὸ ἀσχολιῶν οἰκειακῶν οὐκ ἐπιτρέπονται. Γίνωσκε μέντοι, θεοφιλέστατε Πάτερ, ὅτι πάνυ χρήζει τῆς παρουσίας σου τὰ ἡμέτερα καὶ ἀνάγκη σε τὸ τίμιον γῆρας ἔτι ἅπαξ κινῆσαι, ὑπὲρ τοῦ στῆσαι περιφερομένην λοιπὸν καὶ ἐγγὺς πτώματος οὖσαν τὴν Καππαδοκίαν.

34

100. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Οὕτως εἶδον τὰ γράμματά σου τῆς ἀγάπης ἐν τῇ γείτονι χώρᾳ τῆς Ἀρμενίων ὡς ἂν ἴδοιεν οἱ θαλαττεύοντες πυρσὸν ἐν πελάγει πόρρωθεν φρυκτωρούμενον, ἄλλως τε κἂν ἀγριαίνουσά

6. Ὁ Γρηγόριος, ὁ φίλος τοῦ Βασιλείου, εἶχεν ἐξαναγκασθῆ ὑπ' αὐτοῦ καὶ ὑπὸ τοῦ πατρός του νὰ χειροτονηθῆ ἐπίσκοπος εἰς μίαν κωμόπολιν τῆς Καππαδοκίας τὰ Σάσιμα. Ἀλλὰ δὲν ἐδέχετο ν' ἀναλάβῃ τὴν ἕδραν. Ὁ Εὐσέβιος προφανῶς ἔγραψεν εἰς τὸν Βασίλειον ὅτι τὰ Σάσιμα δὲν εἶναι κατάλληλος ἕδρα διὰ μίαν προσωπικότητα, ὡς ἡ τοῦ Γρηγορίου, αὐτὸς δὲ ἀπαντᾷ μὲ τὴν θαυμασίαν ταύτην παρατήρησιν.

7. Ὁ Μάξιμος διεδέχθη τὸν Ἡλίαν ὡς κυβερνήτης Καππαδοκίας καὶ φαίνεται ὅτι ἦτο αὐστηρὸς εἴτε εἰς τὴν συλλογὴν τῶν φόρων εἴτε εἰς τὴν συμπεριφορὰν πρὸς τοὺς φίλους τοῦ προκατόχου του εἴτε εἰς τὴν στάσιν ἔναντι τῶν Ὀρθοδόξων. Βραδύτερον ἔγινε φίλος τοῦ Βασιλείου.

Ὡς πρὸς τὸν ἀδελφὸν Γρηγόριον [6] ἤθελα καὶ ἐγὼ νὰ διοικῇ Ἐκκλησίαν σύμμετρον μὲ τὰ προσόντα του. Αὐτὴ δὲ θὰ ἦτο ἡ εἰς ὅλην τὴν ὑφήλιον συγκεντρωμένη εἰς μίαν. Ἐπειδὴ δὲ τοῦτο εἶναι ἀδύνατον, ἂς εἶναι ἐπίσκοπος ὄχι λαμβάνων ἀξίαν ἀπὸ τὸν τόπον, ἀλλὰ δίδων ἀξίαν εἰς τὸν τόπον. Διότι γνώρισμα τοῦ μεγάλου δὲν εἶναι μόνον νὰ ἐπαρκῇ εἰς τὰ μεγάλα, ἀλλὰ καὶ τὰ μικρὰ νὰ μεταβάλλῃ εἰς μεγάλα μὲ τὴν ἱκανότητά του.

Τί δὲ νὰ κάμωμεν μὲ τὸν Παλμάτιον, ὁ ὁποῖος παρ' ὅλας τὰς παρακλήσεις τῶν ἀδελφῶν ὑπηρετεῖ ἀκόμη τὸν Μάξιμον [7] εἰς τὰς πιεστικὰς ἐνεργείας του; Καὶ ὅμως οὔτε τώρα δὲν διστάζουν νὰ τοῦ γράφουν· διότι λόγῳ σωματικῆς ἀσθενείας καὶ ἰδικῶν του ἀσχολιῶν δὲν δύνανται νὰ τὸν ἐπισκεφθοῦν.

Γνώριζε δέ, θεοφιλέστατε πάτερ, ὅτι ἡ κατάστασίς μας χρειάζεται πολὺ τὴν παρουσίαν σου καὶ εἶναι ἀνάγκη νὰ κινήσῃς ἀκόμη μίαν φορὰν τὸ τίμιον γῆράς σου, διὰ νὰ στηρίξῃς τὴν Καππαδοκίαν ποὺ σαλεύεται καὶ πλησιάζει νὰ κρημνισθῇ [8].

34

ΕΠΙΣΤΟΛΗ 100
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Τὸ γράμμα τῆς ἀγάπης σου, ποὺ ἔλαβα εἰς τὴν γειτονικὴν χώραν τῆς Ἀρμενίας, τὸ εἶδα ὅπως θὰ ἔβλεπαν ταξιδιῶται μέσα εἰς πλοῖον φωτιὰν νὰ καίῃ μακρυὰ εἰς τὸν ὁρίζοντα τοῦ πελάγους, πρὸ πάντων ἂν τύχῃ ἡ θάλασσα νὰ εἶναι ἀγριεμένη

---

8. Ἡ παρουσία τοῦ Βασιλείου δὲν ἄφησε νὰ κρημνισθῇ ἡ Καππαδοκία, ἐνῷ ἀντιθέτως ὁ παραλήπτης τῆς ἐπιστολῆς γηραιὸς Εὐσέβιος μετ' ὀλίγον ἐξωρίσθη.

Ἐπιστολὴ 100. Ἐγράφη τὸν Αὔγουστον τοῦ 372 ἀπὸ τὰ Σάταλα τῆς Ἀρμενίας.

πως τύχῃ ὑπ' ἀνέμων ἡ θάλασσα. Καὶ γὰρ φύσει μὲν ἡδὺ καὶ παρηγορίαν ἔχον πολλὴν τὸ τῆς σῆς σεμνότητος γράμμα, τότε δὲ τὴν ἀπ' αὐτοῦ χάριν ὁ καιρὸς συνηύξησεν, ὃν ὁποῖος ἦν καὶ ὅπως ἡμᾶς λυπήσας ἐγὼ μὲν οὐκ ἂν εἴποιμι, κρίνας ἅπαξ ἐπιλαθέσθαι τῶν λυπηρῶν· ὁ μέντοι συνδιάκονος ἡμῶν διηγήσεταί σου τῇ θεοσεβείᾳ. Ἐμὲ δὲ ἐπέλειπε παντελῶς τὸ σῶμα, ὡς μηδὲ τὰς σμικροτάτας κινήσεις δύνασθαι ἀλύπως φέρειν. Πλὴν ἀλλ' εὔχομαι δυνηθῆναί μοι τὴν παλαιὰν ἐπιθυμίαν νῦν γοῦν διὰ τῆς βοηθείας τῶν σῶν προσευχῶν ἐκπληρωθῆναι, εἰ καὶ ὅτι πολλήν μοι πεποίηκε τὴν δυσκολίαν ἡ ἀποδημία αὕτη, τοσούτῳ χρόνῳ ἀμεληθέντων τῶν κατὰ τὴν ἡμετέραν Ἐκκλησίαν πραγμάτων. Ἐὰν δὲ ὁ Θεός, ἕως ἐσμὲν ὑπὲρ γῆς, καταξιώσῃ ἡμᾶς ἰδεῖν ἐπὶ τῆς Ἐκκλησίας ἡμῶν τὴν σὴν θεοσέβειαν ὄντως ἀγαθὰς ἐλπίδας καὶ ἐπὶ τοῖς μέλλουσιν ἕξομεν ὡς οὐ πάντη ἀπόβλητοι τῶν δωρεῶν γενησόμεθα τοῦ Θεοῦ. Τοῦτο γοῦν, ἐὰν ᾖ δυνατόν, παρακαλοῦμεν ἐπὶ τῆς συνόδου γενέσθαι ἣν δι' ἔτους ἄγομεν ἐπὶ τῇ μνήμῃ τοῦ μακαριωτάτου μάρτυρος Εὐψυχίου ἐγγιζούσῃ λοιπὸν κατὰ τὴν ἑβδόμην τοῦ Σεπτεμβρίου μηνὸς ἡμέραν. Καὶ γὰρ καὶ φροντίδος ἄξια ἡμῖν περίκειται πράγματα τῆς παρὰ σοῦ δεόμενα συνεργίας, εἴς τε κατάστασιν ἐπισκόπων καὶ εἰς βουλὴν καὶ σκέψιν τῶν μελετωμένων καθ' ἡμῶν παρὰ τῆς χρηστότητος Γρηγορίου τοῦ Νυσσαέως, ὃς συνόδους συγκροτεῖ κατὰ τὴν Ἀγκύραν καὶ οὐδένα τρόπον ἐπιβουλεύων ἡμῖν ἀφίησιν.

---

1. Πρόκειται περὶ τοῦ διακόνου ὁ ὁποῖος μετέφερε τὸ γράμμα. Αἱ λύπαι περὶ τῶν ὁποίων ἀποφεύγει νὰ ὁμιλήσῃ ὁ Βασίλειος εἶναι τὰ συμβάντα εἰς τὴν Νικόπολιν μὲ τὸν ἐπίσκοπον αὐτῆς Θεόδοτον. Βλέπε ἐπιστ. 99, τ.Β'.

2. Πρόκειται προφανῶς περὶ ἐπισκόπων εἰς τὴν περιοχὴν Ἀρμενίας.

3. Ὁ Βασίλειος παρεπονεῖτο συχνὰ διὰ τοὺς ἡμιαυτονόμους συνεργάτας του ἐπισκόπους, ἐνίοτε δὲ καὶ διὰ τοὺς γειτονικοὺς ἢ μὴ ἐπισκόπους, πλὴν ἐκείνων τοὺς ὁποίους ἐσέβετο ὑπερβαλλόντως λόγῳ ἡλικίας, ὡς ὁ Εὐσέβιος Σαμοσάτων, ὁ Μελέτιος Ἀντιοχείας, ὁ Μέγας Ἀθανάσιος, ἔστω καὶ ἂν κάποιος ἀπὸ αὐτούς, ὅπως ὁ Ἀθανάσιος, δὲν ἀκολουθοῦσε τὴν ἐκκλησιαστικήν του πολιτικήν. Ἐδῶ παραπονεῖται διὰ τὰς ἐνεργείας τοῦ ἀδελφοῦ του Γρηγορίου Νύσσης, αἱ ὁποῖαι δὲν ὀφείλονται εἰς ἐσκεμμένην ἀντίδρασιν, ἀλλά,

ἀπὸ τοὺς ἀνέμους. Διότι, μολονότι τὸ γράμμα τῆς σεμνότητός σου εἶναι ἐκ φύσεως γλυκὺ καὶ περιέχει πολλὴν παρηγορίαν, τότε ὅμως ἡ περίστασις ηὔξησεν εἰς ὕψιστον βαθμὸν τὴν χάριν του. Ποῖος δὲ ἦτο ὁ καιρὸς καὶ πῶς μᾶς ἐλύπησεν, ἐγὼ μὲν δὲν θὰ τὸ εἴπω, διότι ἐπεφάσισα ὁριστικῶς νὰ λησμονήσω τὰ λυπηρά, θὰ τὸ διηγηθῇ δὲ εἰς τὴν θεοσέβειάν σου ὁ συνδιάκονος ἡμῶν [1].

Ἐμὲ δέ, μ' ἐγκατέλειψε τελείως τὸ σῶμα, ὥστε νὰ μὴ δύναται νὰ ὑποφέρῃ χωρὶς λύπην οὔτε τὰς μικροτάτας κινήσεις. Ἀλλὰ πάντως θέλω νὰ ἐκπληρωθῇ τώρα διὰ τῆς βοηθείας σου ἡ παλαιὰ ἐπιθυμία μου, μολονότι εἶναι ἀλήθεια ὅτι αὐτὸ τὸ ταξίδι μοῦ ἔφερε πολλὴν δυσκολίαν, καθ' ὅσον παρημελήθησαν αἱ ὑποθέσεις τῆς Ἐκκλησίας μου ἐπὶ τόσον πολὺν χρόνον. Ἐὰν δὲ ὁ Θεὸς μᾶς καταξιώσῃ, ἕως ὅτου εἴμεθα ἐπάνω εἰς τὴν γῆν, νὰ ἴδωμεν εἰς τὸ μέσον τῆς Ἐκκλησίας μας τὴν θεοσέβειάν σου, τότε πράγματι θὰ ἔχωμεν σοβαρὰς ἐλπίδας καὶ διὰ τὰ μέλλοντα ἀγαθά, ὅτι δὲν θὰ εἴμεθα ἐντελῶς ἀπόβλητοι τῶν δωρεῶν τοῦ Θεοῦ.

Τοῦτο δέ, ἐὰν εἶναι δυνατόν, παρακαλοῦμεν νὰ συμβῇ κατὰ τὴν διάρκειαν τῆς συνάξεως, τὴν ὁποίαν κατ' ἔτος πραγματοποιοῦμεν ἐπ' εὐκαιρίᾳ τῆς μνήμης τοῦ μακαρίου μάρτυρος Εὐψυχίου, κατὰ τὴν ἑβδόμην Σεπτεμβρίου, ἡ ὁποία ἤδη προσεγγίζει. Διότι πλὴν τῶν ἄλλων πρόκεινται ἐνώπιον ἡμῶν καὶ θέματα ἄξια φροντίδος καὶ ἔχοντα ἀνάγκην τῆς συνεργασίας σου, ἀναφερόμενα εἰς τὴν ἐγκατάστασιν ἐπισκόπων [2] καὶ εἰς σύσκεψιν διὰ τὰς εἰς βάρος ἡμῶν, ἐνεργείας τῆς ἀφελείας τοῦ Γρηγορίου Νύσσης [3], ὁ ὁποῖος συγκροτεῖ συνόδους εἰς τὴν Ἄγκυραν καὶ δὲν ἀφήνει εὐκαιρίαν νὰ ἐνεργῇ χωρὶς τὴν συναίνεσιν ἡμῶν.

ὅπως ὁ ἴδιος ὁ Βασίλειος τονίζει, εἰς ἁπλοϊκότητα ἢ ἀφέλειαν («χρηστότητα»). Ζητεῖ ἀπὸ τὸν Εὐσέβιον νὰ τὸν συνετίσῃ. Δὲν ἦτο ἀφελὴς ὁ Γρηγόριος Νύσσης, ἀλλὰ ἐστερεῖτο διπλωματικότητος, πρᾶγμα ποὺ τοῦ ἐστοίχισε μετ' ὀλίγον χρόνον τὴν δίωξίν του ἀπὸ τοὺς Ἀρειανούς.

35

127. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Ὁ φιλάνθρωπος Θεὸς ὁ συμμέτρους ταῖς θλίψεσι τὰς παρακλήσεις συνάπτων καὶ παρακαλῶν τοὺς ταπεινούς, ἵνα μὴ λάθωσιν ὑπὸ τῆς περισσοτέρας λύπης καταποθέντες, ἴσην ταῖς ἐπιγενομέναις ἡμῖν κατὰ τὴν Νικόπολιν ταραχαῖς τὴν παραμυθίαν ἐπήγαγε τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰουβῖνον ἐν καιρῷ ἐπιστήσας· ὅς, ὅπως εὐκαίρως ἡμῖν ἐπεφάνη, αὐτὸς διηγησάσθω. Ἡμεῖς γὰρ φειδόμενοι τοῦ μήκους τῆς ἐπιστολῆς σιωπήσομεν καὶ ἵνα μὴ δόξωμεν τοὺς ἐκ μεταβολῆς ἀγαπητοὺς ἡμῖν γενομένους οἱονεὶ τῇ ὑπομνήσει τοῦ σφάλματος στηλιτεύειν. Ἀλλὰ παράσχοι ὁ ἅγιος Θεὸς ἐπιστῆναί σε τοῖς ἡμετέροις τόποις, ὥστε περιπτύξασθαι μὲν τὴν σὴν σεμνοπρέπειαν, διηγήσασθαι δὲ τὰ καθ' ἕκαστον. Πέφυκε γάρ πως τὰ κατὰ τὴν πεῖραν λυπήσαντα ψυχαγωγίαν ἔχειν ἐν διηγήμασι. Πλὴν ἀλλ' ὑπὲρ ὧν τελείως μὲν ὡς πρὸς τὴν εἰς ἡμᾶς ἀγάπην, προηγουμένως δὲ καὶ στιβαρῶς ὡς πρὸς τὴν τῶν κανόνων ἀκρίβειαν ὁ θεοφιλέστατος ἐπίσκοπος ἐκινήθη ἐπαίνεσον αὐτόν, καὶ εὐχαρίστησον τῷ Κυρίῳ ὅτι τὰ σὰ θρέμματα πανταχοῦ τὸν χαρακτῆρα τῆς σῆς σεμνότητος δείκνυσιν.

Ἐπιστολὴ 127. Ἐγράφη τὸν Ἰούνιον τοῦ 373, ἀκριβῶς μετὰ τὴν ἐπιστροφὴν τοῦ Βασιλείου ἀπὸ τὴν Νικόπολιν, ὅπου εἶχε μεταβῆ διὰ νὰ ἐξετάσῃ τὸ θέμα τῆς ἀντικανονικῆς χειροτονίας τοῦ Φαύστου ὡς ἐπισκόπου Σατάλων. Κατὰ τὴν ἐπιστροφήν του ἐδέχθη τὴν ἐπίσκεψιν τοῦ Ἰοβίνου, ἐπισκόπου Πέρρης (βλέπε ἐπιστ. 118, τ.Β'), ὁ ὁποῖος ἐτάχθη παρὰ τὸ πλευρόν του. Ἐκφράζει διὰ τοῦτο τὴν χαράν του εἰς τὴν ἐπιστολὴν ὁ Βασίλειος διὰ τὴν ἐνίσχυσιν ποὺ τοῦ προσέφερεν ὁ καλὸς αὐτὸς μαθητὴς τοῦ Εὐσεβίου.

35

ΕΠΙΣΤΟΛΗ 127
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Ὁ φιλάνθρωπος Θεός, ὁ ὁποῖος εἰς τὰς θλίψεις συνάπτει συμμέτρους παρηγορίας καὶ παραμυθεῖ τοὺς ταπεινούς, διὰ νὰ μὴ καταποθοῦν ἀπὸ τὴν περίσσειαν τῆς λύπης χωρὶς νὰ τὸ καταλάβουν, μᾶς προσέφερεν ἴσην παρηγορίαν διὰ τὰς ταραχὰς ποὺ μᾶς εὗραν εἰς τὴν Νικόπολιν, μὲ τὸ νὰ προκαλέσῃ τὴν ἔγκαιρον ἄφιξιν τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἰοβίνου. Εἰς πόσον δὲ κατάλληλον χρόνον ἐνεφανίσθη εἰς ἡμᾶς, ἂς τὸ διηγηθῇ ὁ ἴδιος. Διότι ἡμεῖς θὰ σιωπήσωμεν ἐπ' αὐτοῦ, διὰ ν' ἀποφύγωμεν τὸ μῆκος τῆς ἐπιστολῆς καὶ διὰ νὰ μὴ φανῶμεν ὅτι μὲ τὴν ὑπόμνησιν τοῦ σφάλματος στηλιτεύομεν ἐκείνους ποὺ λόγῳ μεταστροφῆς ἔγιναν ἀγαπητοὶ εἰς ἡμᾶς.

Ἀλλ' εὔχομαι νὰ δώσῃ ὁ ἅγιος Θεὸς νὰ ἐμφανισθῇς εἰς τοὺς ἰδικούς μας τόπους, ὥστε νὰ περιπτυχθῶμεν τὴν σεμνοπρέπειάν σου καὶ νὰ τῆς διηγηθῶμεν τὸ καθετὶ λεπτομερῶς. Διότι τὰ πράγματα ποὺ μᾶς ἐλύπησαν, ὅταν τὰ ἐδοκιμάζαμεν, φέρουν συνήθως κάποιαν ἀνακούφισιν, ὅταν τὰ διηγούμεθα.

Ἀλλ' ὁπωσδήποτε, δι' ὅσα ἐνήργησεν ὁ θεοφιλέστατος ἐπίσκοπος, μὲ πλήρη ἀφοσίωσιν ὅσον ἀφορᾷ εἰς τὴν ἀγάπην του πρὸς ἡμᾶς, κυρίως ὅμως μὲ σταθερότητα ὡς πρὸς τὴν ἀκριβῆ τήρησιν τῶν κανόνων, ἐπαίνεσέ τον, καὶ εὐχαρίστησε τὸν Κύριον, διότι τ' ἀναστήματά σου ἐπιδεικνύουν παντοῦ τὸν χαρακτῆρα τῆς σεμνότητός σου.

Δὲν εἶναι ὅμως σαφὲς διὰ ποίου ἀνθρώπου τὴν μεταβολὴν γνώμης πρὸς τὸ καλὸν ὁμιλεῖ ἐδῶ ὁ Βασίλειος. Ἴσως πρόκειται περὶ τοῦ Θεοδότου Νικοπόλεως.

36

138. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

1. Τίνα με οἴει ψυχὴν ἐσχηκέναι, ὅτε τὴν ἐπιστολήν ἐδεξάμην τῆς θεοσεβείας σου; Εἰ μὲν γὰρ πρὸς τὴν ἐν τῷ γράμματι ἀπεῖδον διάθεσιν, εὐθὺς ὥρμων πέτεσθαι τὴν εὐθὺ Σύρων· εἰ δὲ πρὸς τὴν ἀρρωστίαν τοῦ σώματος, ὑφ' ἧς πεπεδημένος ἐκείμην, ἠσθανόμην οὐχὶ τοῦ πέτεσθαι μόνον, ἀλλὰ καὶ τοῦ ἐπὶ τῆς κλίνης στρέφεσθαι ἐνδεῶς ἔχων. Πεντηκοστὴν γὰρ ταύτην ἡμέραν ἦγον ἐν τῇ ἀρρωστίᾳ, καθ' ἣν ἐπέστη ἡμῖν ὁ ἀγαπητὸς καὶ σπουδαιότατος ἀδελφὸς ἡμῶν συνδιάκονος Ἐλπίδιος, πολλὰ μὲν τῷ πυρετῷ δαπανηθείς, ὃς ἀπορίᾳ τῆς τρεφούσης αὐτὸν ὕλης τῇ ξηρᾷ ταύτῃ σαρκὶ οἷον θρυαλλίδι κεκαυμένῃ περιειλούμενος μαρασμώδη καὶ χρονίαν ἐπήγαγεν ἀρρωστίαν· τὰ δὲ ἐφεξῆς ἡ ἀρχαία πληγή μου, τὸ ἦπαρ τοῦτο διαδεξάμενον, ἀπέκλεισε μέν με σιτίων, ἀπεδίωξε δὲ τῶν ὀμμάτων τὸν ὕπνον, ἐν μεθορίοις δὲ κατέσχε ζωῆς καὶ θανάτου τοσοῦτον ζῆν ἐπιτρέπον ὅσον τῶν ἀπ' αὐτοῦ δυσχερῶν ἐπαισθάνεσθαι. Ὥστε καὶ ὕδασιν ἐχρησάμην αὐτοφυῶς θερμοῖς καί τινας παρ' ἰατρῶν ἐπιμελείας κατεδεξάμην. Ἅπαντα δὲ ἤλεγξε τὸ νεανικὸν τοῦτο κακὸν δ τοῦ μὲν ἔθους παρόντος κἂν ἄλλος ἐνέγκοι, ἀμελετήτως δὲ προσπεσόντος οὐδεὶς οὕτως ἀδαμάντινος ὥστε ἀντισχεῖν. Ὑφ' οὗ πολὺν ὀχληθεὶς χρόνον οὐδέποτε οὕτως ἠνιάθην ὅσον νῦν ἐμποδισθεὶς παρ' αὐτοῦ πρὸς τὴν συντυχίαν τῆς ἀληθινῆς ἀγάπης σου. Οἵας γὰρ ἀπεστερήθην θυμηδίας οἶδα καὶ αὐτός, εἰ καὶ ἄκρῳ δακτύλῳ τοῦ γλυκυτά-

---

Ἐπιστολὴ 138. Ἐγράφη τὸ 373, πιθανὸν μεταξὺ Ἀπριλίου καὶ Ἰουνίου. Ὁ Βασίλειος διέρχεται σοβαρὰν κρίσιν ὑγείας μὲ ὑψηλὸν πυρεττὸν καὶ πόνους εἰς τὸ ἦπαρ. Ἡ ἰατρικὴ περίθαλψις καὶ ἡ λουτροθεραπεία δὲν τὸν ἀνεκούφισαν, καθὼς λέγει, ἀλλ' ἡ διάθεσίς του καὶ ἡ ζωηρότης τῶν ἐνδιαφερόντων του δεικνύουν ὅτι εἶχεν εἰσέλθει ἤδη εἰς τὸ στάδιον βελτιώσεως τῆς καταστάσεώς του. Εἰς τὴν ἐπιστολὴν 136 πρὸς τὸν ἴδιον ὁμιλεῖ περὶ ἀσθενείας ὅλων τῶν εἰς τὸ ἐπισκοπεῖόν του ἐργαζομένων. Ἴσως πρόκειται περὶ ἐπιδημίας ἐαρινῆς ἢ περὶ ἐλονοσίας. Τὴν ἀπάντησιν τοῦ Εὐσεβίου δυνάμεθα νὰ διακρίνωμεν ὑπὸ τὴν ἐπιστολὴν 128 τοῦ Βασιλείου, ἡ ὁποία εἶναι μεταγενεστέρα.

36

ΕΠΙΣΤΟΛΗ 138
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Ἀλλ' οὔτε ὁ βικάριος ὑπεδέξατο ἡμῶν τὰ γράμματα. Περιοδευόντων γὰρ ἡμῶν τὴν παροικίαν, ἐπιστὰς τῇ πόλει ἑσπέρας, ὄρθρου βαθέος πάλιν ἀπήλασεν, ὥστε τοὺς οἰκονόμους λαθεῖν τῆς ἐκκλησίας τὴν τοῦ ἀνδρὸς ἐπιδημίαν καὶ οὕτω μεῖναι παρ' ἡμῖν τὰ γράμματα. Ὁ δὲ πραιπόσιτος, τάχα ἀβουλήτου τινὸς αὐτὸν περιστάσεως κατασχούσης, ἐξώρμησε μήτε τὰς ἐπιστολὰς ἀνελόμενος μήτε ἡμᾶς θεασάμενος. Ἄλλου δὲ οὐδενὸς ἦν ἐπιτυχεῖν· ὅθεν ἐμείναμεν λυπούμενοι, ὅτι μήτε ἐπιστέλλειν ἡμῖν ἔξεστι μήτε δέχεσθαι παρὰ τῆς σῆς θεοσεβείας γράμματα. Καίτοι ἐβουλόμην, εἴ μοι ἦν δυνατόν, τὰ ἐφ' ἑκάστης ἡμέρας συμπίπτοντα ἡμῖν διαγγέλλειν σοι. Οὕτω γὰρ πολλὰ καὶ παράδοξά ἐστι τὰ πράγματα, ὥστε ἱστορίας ἐφημερίδος χρῄζειν, ἣν καὶ συνέταξα, εὖ ἴσθι, εἰ μὴ τῇ συνεχείᾳ τῶν προσπιπτόντων τοὺς λογισμοὺς εἶχον τῶν προκειμένων ἐκκρουομένους.

2. Ἐπεδήμησεν ἡμῖν βικάριος, τὸ πρῶτον καὶ μέγιστον τῶν ἡμετέρων κακῶν· ἄνθρωπος, εἰ μὲν καὶ αἱρετικὸς τὸ φρόνημα οὐκ ἐπίσταμαι (οἶμαι γὰρ αὐτὸν παντὸς ἄπειρον εἶναι λόγου καὶ μηδὲ ἔχειν τινὰ σπουδὴν μηδὲ μελέτην περὶ τὰ τοιαῦτα· ἐν ἄλλοις γὰρ αὐτὸν ὁρῶ τῇ ψυχῇ καὶ τῇ σαρκὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐνασχολούμενον), πλὴν ἀλλὰ φιλαιρετικὸς καὶ οὐ πλέον ἐκείνους φιλῶν ἢ πρὸς ἡμᾶς ἀπεχθῶς ἔχων. Συνεκρότησε μὲν γὰρ σύνοδον ἀθετούντων ἐν μέσῳ τῷ χειμῶνι ἐπὶ τῆς Γαλατίας· καὶ ἐξέβαλε μὲν τὸν Ὕψιν, ἀντικατέστησε δὲ τὸν Ἐκδίκιον. Ἀγώγιμον δὲ προσέταξε γενέσθαι τὸν ἀδελφὸν τὸν ἐμὸν ὑπὸ ἑνὸς ἀνθρώπου καὶ τούτου ἀσήμου αἰτιαθέντα. Εἶτα μικρὸν ἀσχοληθεὶς περὶ τὸ στρατόπεδον πάλιν ἡμῖν ἐπῆλθε θυμοῦ καὶ φόνου πνέων, καὶ πάντας

---

2. Ποῖος γνωρίζει, ἂν ὁ βικάριος καὶ ὁ ταμίας ἐκεῖνος δὲν ἀπέφυγαν νὰ παραλάβουν τὰς ἐπιστολὰς τοῦ Βασιλείου; Ἦσαν προφανῶς καὶ οἱ δύο φίλοι τῶν Ὀρθοδόξων, ἀλλ' ὁ αὐτοκράτωρ ὑπὸ τὸν ὁποῖον ὑπηρετοῦσαν ἦτο ἀρειανός, καὶ ὁ Εὐσέβιος εἶχεν ἐξορισθῇ κατόπιν διαταγῆς αὐτοῦ.

3. Ἀναφέρεται εἰς τὸν βικάριον Πόντου Δημοσθένην.

4. Εἶναι ἡ εἰς Ἄγκυραν, πρωτεύουσαν τῆς Γαλατίας, συγκροτηθεῖσα σύνοδος τὸν Δεκέμβριον τοῦ 375.

ρήση. Ἀλλ' οὔτε ὁ βικάριος παρέλαβε τὸ γράμμα μας· διότι, ἐνῷ εὑρισκόμεθα εἰς περιοδείαν ἀνὰ τὴν ἐπαρχίαν ἡμῶν, αὐτὸς ἐπεσκέφθη τὴν πόλιν ἡμῶν τὸ βράδυ καὶ ἀνεχώρησε πάλιν πολὺ πρωί, ὥστε οἱ οἰκονόμοι τῆς Ἐκκλησίας δὲν ἀντελήφθησαν τὴν ἐπίσκεψιν τοῦ ἀνδρὸς καὶ οὕτω τὸ γράμμα ἔμεινεν εἰς τὰς χεῖράς μας. Ὁ δὲ προϊστάμενος τοῦ ταμείου, πιεζόμενος ἀπὸ κάποιο δυσάρεστον συμβάν, ἐξεκίνησεν ἐξαφνικά, χωρὶς οὔτε τὴν ἐπιστολὴν νὰ παραλάβῃ οὔτε ἡμᾶς νὰ ἴδῃ ἐκ νέου[2].

Συνεπῶς ἐμείναμεν μὲ τὴν λύπην, ὅτι δὲν μᾶς εἶναι δυνατὸν οὔτε νὰ σοῦ γράφωμεν οὔτε νὰ λαμβάνωμεν γράμματα ἀπὸ τὴν θεοσέβειάν σου. Καὶ ὅμως ἤθελα, ἐὰν μοῦ ἦτο δυνατόν, νὰ σοῦ ἀναφέρω ὅσα μᾶς συμβαίνουν καθημερινῶς. Διότι εἶναι τόσον πολλὰ καὶ τόσον παράδοξα τὰ πράγματα, ὥστε νὰ χρειάζεται καθημερινὴ ἐξιστόρησις ἐφημερίδος, τὴν ὁποίαν καὶ θὰ συνέτασσα, νὰ εἶσαι βέβαιος, ἐὰν αἱ σκέψεις μου δὲν ἀπετρέποντο ἀπὸ τὸν σκοπὸν αὐτὸν διὰ τῶν διαδοχικῶν ἐνοχλητικῶν συμβάντων.

2. Μᾶς ἐπεσκέφθη βικάριος[3], τὸ πρῶτον καὶ μέγιστον τῶν δεινῶν μας. Ἄνθρωπος, ὁ ὁποῖος δὲν γνωρίζω ἂν εἶναι καὶ αἱρετικὸς εἰς τὸ φρόνημα (διότι νομίζω ὅτι εἶναι ἄπειρος δι' ὁποιανδήποτε διανόησιν καὶ δὲν ἔχει οὔτε ἐνδιαφέρον οὔτε ἀσκησιν εἰς τοιαῦτα ζητήματα· πράγματι δὲ τὸν βλέπω ν' ἀσχολῆται νύκτα καὶ ἡμέραν μὲ τὴν ψυχὴν καὶ τὴν σάρκα εἰς ἄλλα θέματα), ἀλλὰ πάντως εἶναι φιλαιρετικός, καὶ δὲν εἶναι περισσότερον φιλικὸς πρὸς ἐκείνους ἀπὸ ὅσον εἶναι πλήρης μίσους πρὸς ἡμᾶς. Λοιπὸν μεσοχείμωνα συνεκρότησεν εἰς τὴν Γαλατίαν[4] σύνοδον ἀσεβῶν ἀνδρῶν καὶ ἀπεμάκρυνε τὸν Ὕψιν, ἐτοποθέτησε δὲ εἰς τὴν θέσιν του τὸν Ἐκδίκιον[5]. Διέταξε δὲ ν' ἀπομακρυνθῇ ὁ ἀδελφός μου[6], καταγγελθεὶς ὑπὸ ἑνὸς ἀνθρώπου, καὶ μάλιστα ἀσήμου. Ἔπειτα, ἀσχοληθεὶς ἐπ'

5. Εἰς τὴν ἔδραν τοῦ Παρνασσοῦ παρὰ τὸν Ἅλυν ποταμόν.
6. Ὁ Γρηγόριος, ἐπίσκοπος Νύσσης, βλ. ἐπιστολὴν 225.

μὲν μιᾷ φωνῇ τοὺς ἱερατικοὺς τῆς ἐν Καισαρείᾳ Ἐκκλησίας παρέδωκε τῇ Βουλῇ. Ἐν δὲ Σεβαστείᾳ ἐκαθέσθη πολλὰς ἡμέρας φυλοκρινῶν, καὶ τοὺς μὲν ἡμῖν κοινωνοῦντας βουλευτὰς ὀνομάζων καὶ καταδικάζων τῇ ὑπηρεσίᾳ τῶν δημοσίων, τοὺς δὲ τῷ Εὐσταθίῳ προσκειμένους ταῖς μεγίσταις τιμαῖς περιέπων. Πάλιν σύνοδον περὶ Νύσσαν Γαλατῶν καὶ Ποντικῶν συγκροτηθῆναι προσέταξεν. Οἱ δὲ ὑπήκουσαν καὶ συνδραμόντες ἔπεμψάν τινα ταῖς Ἐκκλησίαις, ὃν οὐκ ἂν ἑλοίμην ἐγὼ εἰπεῖν ὁποῖος, εἰκάζειν δὲ ἔξεστι τῇ σῇ φρονήσει ποταπὸν εἰκὸς εἶναι τὸν τοιαύταις προαιρέσεσιν ἀνθρώπων ὑπηρετούμενον. Καὶ νῦν ὅτε ταῦτα ἐπέστελλον, τὸ αὐτὸ τοῦτο σύνταγμα ἐπὶ τὴν Σεβάστειαν ὥρμησε, τῷ τε Εὐσταθίῳ συναφθῆναι καὶ μετ' αὐτοῦ τὰ τῶν Νικοπολιτῶν καταστρέψασθαι· ὁ γὰρ μακάριος Θεόδοτος κεκοίμηται. Καὶ τέως μὲν τὰς πρώτας τοῦ βικαρίου προσβολὰς γενναίως καὶ καρτερῶς ἀπεκρούσαντο. Πείθειν γὰρ αὐτοὺς ἐπειρᾶτο δέξασθαι τὸν Εὐστάθιον καὶ δι' αὐτοῦ λαβεῖν τὸν ἐπίσκοπον. Ὡς δὲ εἶδεν αὐτοὺς ἑκόντας οὐκ ἐνδιδόντας, νῦν πειρᾶται βιαιοτέρᾳ χειρὶ ἐγκαταστῆσαι τὸν διδόμενον. Ὑποθρυλεῖται δέ τις καὶ συνόδου προσδοκία, καθ' ἣν προαιροῦνται καλέσαντες ἡμᾶς ἢ λαβεῖν κοινωνοὺς ἢ χρήσασθαι τῇ συνηθείᾳ. Τὰ μὲν οὖν τῶν Ἐκκλησιῶν τοιαῦτα. Ἐγὼ δὲ αὐτὸς ὅπως διάκειμαι κατὰ τὸ σῶμα σιωπᾶν ἡγοῦμαι βέλτιον εἶναι ἢ γράφειν, διότι τὰ μὲν ἀληθῆ λέγων λυπήσω, ψεύσασθαι δὲ οὐκ ἀνέχομαι.

---

7. Βλ. Πράξ. 9, 1, «ὁ δὲ Σαῦλος, ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολάς».

8. Πρόκειται περὶ τῆς τοπικῆς βουλῆς τῆς Καισαρείας.

9. Ἰδοὺ ὅτι ὑπῆρχεν ἐποχὴ κατὰ τὴν ὁποίαν τὸ νὰ καταστῇ κανεὶς βουλευτὴς ἐθεωρεῖτο συμφορά! Βεβαίως πρόκειται πάλιν περὶ τοπικῆς βουλῆς, τῆς ὁποίας τὰ μέλη διωρίζοντο ὑπὸ ἀνωτάτων ἀξιωματούχων τοῦ κράτους, ὡς ὁ ὕπαρχος, ὁ διοικητὴς ὑπηρεσιῶν, ὁ ἐπόπτης διοικήσεως. Οἱ βουλευταί, ἀσχολούμενοι μὲ τὰς ὑποθέσεις τῆς πόλεως καὶ τῆς περιοχῆς της, ἔπρεπε νὰ παραμελήσουν τὰς ἰδίας των ὑποθέσεις.

10. Τὴν ἄνοιξιν τοῦ 376. Ὁ Γρηγόριος Νύσσης τελικῶς ἐκηρύχθη ἔκπτωτος ἀπὸ αὐτὴν τὴν σύνοδον, ἀπὼν φυσικά.

ὀλίγον μὲ τὰ ζητήματα τοῦ στρατοπέδου, ἦλθε πάλιν ἐναντίον μας γεμᾶτος θυμὸν καὶ φονικόν [7], καὶ μ' ἕνα διάταγμα παρέδωσεν εἰς τὴν βουλὴν [8] ὅλους τοὺς ἱερατικοὺς τῆς Καισαρείας. Εἰς δὲ τὴν Σεβάστειαν παρέμεινε πολλὰς ἡμέρας ἐξετάζων λεπτομερῶς τὰ ζητήματα, καὶ τοὺς μὲν κοινωνοῦντας μὲ ἡμᾶς διώρισε βουλευτὰς καὶ κατεδίκασεν εἰς δημοσίαν ὑπηρεσίαν [9], τοὺς δὲ προσκειμένους εἰς τὸν Εὐστάθιον ἐτίμησεν ἰδιαιτέρως.

Ἔπειτα πάλιν συνεκάλεσε σύνοδον Γαλατῶν καὶ Ποντίων ἐπισκόπων εἰς τὴν Νύσσαν [10]. Αὐτοὶ δὲ ὑπήκουσαν καὶ, ἀφοῦ συνῆλθαν, ἔστειλαν εἰς τὰς Ἐκκλησίας κάποιο πρόσωπον, ποὺ ἐγὼ θὰ ἐπροτιμοῦσα νὰ μὴ εἴπω ποῖον, εἶναι δὲ δυνατὸν νὰ εἰκάσῃ ἡ φρόνησίς σου ποίου χαρακτῆρος εἶναι ὅποιος ὑπηρετεῖ ἀνθρώπους μὲ τοιαύτας προθέσεις.

Τώρα δὲ ποὺ γράφω τὸ γράμμα τοῦτο, ἡ ἰδία αὐτὴ συμμορία ὥρμησε πρὸς τὴν Σεβάστειαν, διὰ νὰ συνενωθῇ μὲ τὸν Εὐστάθιον καὶ ν' ἀνατρέψῃ τὴν κατάστασιν τῶν Νικοπολιτῶν. Διότι ὁ μακάριος Θεόδοτος ἔχει κοιμηθῆ. Καὶ ἕως τώρα μὲν αὐτοὶ ἀπέκρουσαν γενναίως καὶ κρατερῶς τὰς ἐπιθέσεις τοῦ βικαρίου. Πράγματι οὗτος προσεπάθησε νὰ τοὺς πείσῃ νὰ δεχθοῦν τὸν Εὐστάθιον καὶ νὰ λάβουν δι' αὐτοῦ νέον ἐπίσκοπον· ἐπειδὴ ὅμως τοὺς εἶδε νὰ μὴ ὑποχωροῦν ἑκουσίως, τώρα προσπαθεῖ νὰ ἐγκαταστήσῃ τὸν διδόμενον ἐπίσκοπον [11] μὲ βιαιοτέραν χεῖρα. Φημολογεῖται δὲ καὶ κάποια προσδοκία συνόδου, εἰς τὴν ὁποίαν προτίθενται νὰ καλέσουν ἡμᾶς καὶ ἢ νὰ λάβουν ἡμᾶς κοινωνοὺς ἢ ἁπλῶς νὰ ἔχουν τὴν φιλίαν μας.

Τὰ μὲν ζητήματα τῶν Ἐκκλησιῶν λοιπὸν εἶναι τοιαῦτα. Πῶς δὲ εὑρίσκομαι ἐγὼ ὁ ἴδιος εἰς τὸ σῶμα, θεωρῶ καλύτερον νὰ σιωπήσω παρὰ νὰ γράψω, διότι, ἐὰν μὲν εἴπω τὴν ἀλήθειαν θὰ σὲ λυπήσω, νὰ ψευσθῶ δὲ μοῦ εἶναι ἀνυπόφορον.

11. Ὁ διὰ τοῦ Εὐσταθίου διδόμενος ἐπίσκοπος ἦτο ὁ Φρόντων. Εἰς ἄλλας ἐπιστολὰς βλέπομεν ὅτι τελικῶς ἐπεκράτησεν εἰς τὴν Νικόπολιν ὀρθόδοξος, ὁ Εὐφρόνιος, μετατεθεὶς ἀπὸ τὴν Κολώνειαν, κατόπιν ἐνεργειῶν τοῦ ἐπισκόπου Σατάλων Ποιμενίου.

48

239. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

1. Ἔδωκεν ὁ Κύριος ἡμῖν καὶ νῦν διὰ τοῦ ποθεινοτάτου καὶ εὐλαβεστάτου ἀδελφοῦ ἡμῶν Ἀντιόχου τοῦ συμπρεσβυτέρου προσφθέγξασθαί σου τὴν ὁσιότητα, καὶ σὲ μὲν παρακαλέσαι τὰ συνήθη ποιεῖν, προσεύχεσθαι ὑπὲρ ἡμῶν, ἑαυτοῖς δὲ εὑρεῖν τινα τῆς μακρᾶς ἀπολείψεως παραμυθίαν ἐκ τῆς διὰ τοῦ γράμματος ὁμιλίας. Προσευχόμενος δὲ τοῦτο πρῶτον καὶ μέγιστον, παρακαλοῦμεν, αἴτει παρὰ τοῦ Κυρίου, ῥυσθῆναι ἡμᾶς ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων, οἳ τοσοῦτον κατεκράτησαν τῶν λαῶν ὥστε οὐδὲν ἕτερον νῦν ἢ τὰ τῆς Ἰουδαϊκῆς ἁλώσεως ἡμᾶς ἐνεικονίζεσθαι πράγματα. Ὅσῳ γὰρ ἐπὶ τὸ ἀσθενέστερον ὑπορρέουσιν αἱ Ἐκκλησίαι, τοσούτῳ ἐπακμάζουσι τῶν ἀνθρώπων αἱ φιλαρχίαι. Καὶ εἰς δυστήνους ἀνθρώπους οἰκοτρίβων οἰκότριβας περιέστη νῦν τὸ τῆς ἐπισκοπῆς ὄνομα, οὐδενὸς αἱρουμένου ἀντεισάγειν ἑαυτὸν τῶν δούλων τοῦ Θεοῦ ἢ τῶν ἀπεγνωσμένων, ὁποῖοί εἰσιν οἱ νῦν ἐπιπεμφθέντες παρ' Ἀνυσίου τοῦ θρέμματος Εὐϊππίου καὶ Ἐκδικίου τοῦ Παρνασσηνοῦ, ὃν κακὸν ἑαυτῷ τῆς μελλούσης ζωῆς ἐφόδιον ἐναφῆκε ταῖς Ἐκκλησίαις ὁ καταστήσας. Οὗτοι νῦν ἐξήλασαν μὲν τῆς Νύσσης τὸν ἀδελφὸν τὸν ἐμὸν καὶ ἀντεισή-

---

Ἐπιστολὴ 239. Ἐγράφη τὴν ἄνοιξιν τοῦ 376. Περιγράφει τὴν δεινὴν κατάστασιν τῆς ὀρθοδοξίας εἰς τὴν Ἀνατολὴν καὶ ἐπικρίνει τὴν ἀπροθυμίαν τῶν Δυτικῶν νὰ βοηθήσουν. Ὁ Εὐσέβιος εἶναι ἀκόμη ἐξόριστος εἰς τὴν Θράκην.

1. Ἐννοεῖ ἢ τὴν βαβυλώνιον αἰχμαλωσίαν ἢ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων ὑπὸ τῶν Ρωμαίων τὸ 70 μ.Χ.

48

ΕΠΙΣΤΟΛΗ 239
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

1. Ὁ Κύριος μᾶς ἠξίωσε νὰ χαιρετίσωμεν τὴν ὁσιότητά σου καὶ τώρα διὰ τοῦ ἀγαπητοτάτου καὶ εὐλαβεστάτου ἀδελφοῦ ἡμῶν Ἀντιόχου, τοῦ συμπρεσβυτέρου, καὶ ἐσὲ μὲν νὰ παρακαλέσωμεν νὰ κάμῃς τὰ συνηθισμένα, δηλαδὴ νὰ προσεύχεσαι ὑπὲρ ἡμῶν, χάριν τοῦ ἑαυτοῦ μας δὲ νὰ εὕρωμεν κάποιαν παραμυθίαν διὰ τὸν μακρὸν χωρισμὸν μὲ τὴν διὰ τοῦ γράμματος συνομιλίαν. Ὅταν δὲ προσεύχεσαι, παρακαλοῦμεν νὰ ζητῇς ἀπὸ τὸν Κύριον πρῶτον καὶ μέγιστον νὰ λυτρώσῃ ἡμᾶς ἀπὸ τοὺς παραλόγους καὶ πονηροὺς ἀνθρώπους, οἱ ὁποῖοι τόσον ἐκυριάρχησαν ἐπὶ τῶν πληθυσμῶν, ὥστε τώρα πλέον νὰ ἐξεικονίζωμεν ἀκριβῶς τὴν ἰουδαϊκὴν ἅλωσιν [1]. Διότι ὅσον ἀσθενέστεραι καθίστανται αἱ Ἐκκλησίαι, τόσον περισσότερον ἀκμάζουν αἱ φιλαρχίαι τῶν ἀνθρώπων.

Καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς προσφέρεται τώρα εἰς ἀνθρώπους ταλαιπώρους, εἰς δούλους, ἀφοῦ κανεὶς ἀπὸ τοὺς ἀληθινοὺς δούλους τοῦ Θεοῦ δὲν ἀποφασίζει νὰ τὸ ἐπιδιώξῃ, ἀντιθέτως μάλιστα ὅλοι προβάλλουν ἀντίστασιν, πλὴν τῶν θλιβερῶν ἀνθρώπων, ὅπως εἶναι οἱ τώρα ἀποσταλέντες ὑπὸ τοῦ Ἀνυσίου, μαθητοῦ τοῦ Εὐϊππίου, καὶ ὑπὸ τοῦ Ἐκδικίου τοῦ Παρνασσηνοῦ. Ὁ διορίσας αὐτὸν τὸν ἄνθρωπον [2] ἄφησεν εἰς τὰς Ἐκκλησίας ἕνα κακὸν δι' ἑαυτὸν ἐφόδιον πρὸς τὴν μέλλουσαν ζωήν.

Αὐτοὶ οἱ ἄνθρωποι τώρα ἐξεθρόνισαν τὸν ἀδελφόν μου

---

2. Πρωτύτερα ἐχρησιμοποίησε πληθυντικὸν ἀριθμόν, ὁμιλῶν «περὶ τῶν θλιβερῶν ἀνθρώπων», οἱ ὁποῖοι ἀπεστάλησαν εἰς τὰς ἕδρας τῆς Καππαδοκίας καὶ τῆς Ἀρμενίας, τὰς κενωθείσας εἴτε λόγῳ θανάτου εἴτε λόγῳ διώξεως. Τώρα περιορίζεται εἰς ἑνικὸν ἀριθμόν, διὰ νὰ τονίσῃ τὴν περιφρόνησιν πρὸς τὸν καθένα ἀπὸ τοὺς διορισθέντας ψευδοεπισκόπους χωριστά.

γαγον ἄνδρα, μᾶλλον δὲ ἀνδράποδον, ὀλίγων ὀβολῶν ἄξιον, τὴν δὲ τῆς πίστεως διαφθορὰν ἐφάμιλλον τοῖς καταστήσασι. Δοάροις δὲ τῇ κώμῃ φθορὸν ἄνθρωπον, ὀρφανῶν οἰκέτην, ἀποδράντα μὲν τοὺς ἑαυτοῦ δεσπότας, διὰ δὲ κολακείας ἀθέου γυναίου, ἣ πρότερον μὲν Γεωργίῳ ἐκέχρητο πρὸς τὸ ἴδιον θέλημα, νῦν δὲ τοῦτον ἔσχε διάδοχον ἐκείνου, ἔπεμψαν τὸ ἐλεεινὸν τῆς ἐπισκοπῆς καθυβρίζοντες ὄνομα. Τὰ δὲ Νικοπολιτῶν τίς ἂν πρὸς ἀξίαν ὀδύραιτο, τοῦ ἀθλίου Φρόντωνος πρότερον μὲν δῆθεν τὴν ὑπὲρ τῆς ἀληθείας συνηγορίαν σχηματιζομένου, τελευταῖον δὲ αἰσχρῶς προδόντος καὶ τὴν πίστιν καὶ ἑαυτὸν καὶ μισθὸν τῆς προδοσίας λαβόντος ὄνομα ἀτιμίας; Ἐδέξατο μὲν γὰρ παρ' αὐτῶν ἐπισκοπῆς ἀξίωμα, ὡς οἴεται, γέγονε δὲ τῇ τοῦ Θεοῦ χάριτι κοινὸν βδέλυγμα πάσης τῆς Ἀρμενίας. Πλὴν ὅτι οὔτε αὐτοῖς ἀτόλμητόν τι οὔτε ἀποροῦσι τῶν ἀξίων αὐτοῖς συνεργῶν. Τὰ δὲ λοιπὰ τῆς Συρίας ἄμεινον ἡμῶν καὶ οἶδε καὶ διηγήσεται ὁ ἀδελφὸς Ἀντίοχος.

2. Τοῖς δὲ ἐκ τῆς Δύσεως αὐτὸς προενέτυχες διηγησαμένου πάντα τοῦ ἀδελφοῦ Δωροθέου, ᾧ ποταπὰς χρὴ δοῦναι πάλιν ἐπιστολὰς ἀπιόντι; Ἴσως γὰρ κοινωνήσει τῆς ὁδοῦ τῷ καλῷ Σαγκτισσίμῳ, πολλὴν ἔχοντι σπουδὴν καὶ περιιόντι τὴν Ἀνατολὴν καὶ παρ' ἑκάστου τῶν ἐπισήμων ὑπογραφὰς καὶ ἐπιστολὰς κομιζομένῳ. Τίνα οὖν δεῖ ἐπιστεῖλαι δι' αὐτῶν ἢ τοῖς ἐπιστέλλουσι πῶς συνθέσθαι αὐτὸς μὲν ἀπορῶ· ἐὰν δὲ εὕρῃς ἐν τάχει τοὺς πρὸς ἡμᾶς ἀφικνουμένους, καταξίωσον ἡμῖν γνωρίσαι. Ἐμοὶ μὲν γὰρ τὸ τοῦ Διομήδους ἐπέρχεται λέγειν· «Μὴ ὄφελες λίσσεσθαι, διό-

---

3. Ἀπὸ τοὺς φιλαρειανούς, τὸν Εὐστάθιον Σεβαστείας καὶ τοὺς συνεργάτας του.

4. Ὁ Δωρόθεος καὶ ὁ Σαγκτίσσιμος εἶχαν ἐπιστρέψει προσφάτως ἀπὸ τὴν Ρώμην καὶ προητοιμάζοντο διὰ νέον ταξίδιον πρὸς αὐτήν.

ἀπὸ τὴν Νύσσαν καὶ ἀντὶ αὐτοῦ ἐτοποθέτησαν ἄνδρα, μᾶλον δὲ ἀνδράποδον ποὺ ἀξίζει ὀλίγους μόνον ὀβολοὺς καὶ ποὺ εἶναι ἐφάμιλλος μὲ τοὺς ἐγκαταστήσαντας αὐτὸν κατὰ τὴν διαφθορὰν τῆς πίστεως.

Εἰς τὴν κωμόπολιν τῶν Δοάρων ἔστειλαν ἕνα διεφθαρμένον ἄνθρωπον, ἐξευτελίζοντες οὕτω τὸ κῦρος τοῦ ἐπισκοπικοῦ ἀξιώματος, ἕνα δοῦλον ὀρφανῶν, ὁ ὁποῖος ἐδραπέτευσε μὲν ἀπὸ τοὺς κυρίους του, ἀνεδείχθη δὲ μὲ τὴν εὔνοιαν ἑνὸς ἀθέου γυναίου, τὸ ὁποῖον προηγουμένως μὲν ἐχρησιμοποιοῦσε κατὰ τὰς ὀρέξεις του τὸν Γεώργιον, τώρα δὲ ἐπῆρεν αὐτὸν ὡς διάδοχον ἐκείνου.

Τὴν δὲ κατάστασιν τῶν Νικοπολιτῶν ποῖος ἠμπορεῖ νὰ θρηνήσῃ κατ' ἀξίαν, ὅπου ὁ ἄθλιος Φρόντων πρωτύτερα μὲν ὑπεκρίνετο τὸν δῆθεν συνήγορον τῆς ἀληθείας, τελευταῖα δὲ ἐπρόδωσεν αἰσχρῶς καὶ τὴν πίστιν καὶ ἑαυτόν, καὶ ὡς μισθὸν διὰ τὴν προδοσίαν ἔλαβεν ὄνομα ἀτιμίας; Διότι ἐδέχθη μὲν ἀπὸ αὐτοὺς[3] ἀξίωμα ἐπισκοπῆς, ὅπως νομίζει, μὲ την χάριν δὲ τοῦ Θεοῦ ἔγινε κοινὸν βδέλυγμα ὅλης τῆς Ἀρμενίας.

Πάντως εἶναι γεγονὸς ὅτι δὲν ὑπάρχει τίποτε ποὺ δὲν τολμοῦν νὰ κάμουν αὐτοὶ οἱ ἄνθρωποι οὔτε στεροῦνται δὲ συνεργῶν ἀξίων ἑαυτῶν. Τὰ ὑπόλοιπα ἔργα των, τ' ἀναφερόμενα εἰς τὴν Συρίαν, καλύτερα ἀπὸ ἡμᾶς γνωρίζει καὶ θὰ σοῦ διηγηθῇ ὁ ἀδελφὸς Ἀντίοχος.

2. Τὰς εἰδήσεις ἀπὸ τὴν Δύσιν γνωρίζεις πρὶν ἀπὸ ἡμᾶς, διότι σοῦ ἐξέθεσε τὰ πάντα ὁ ἀδελφὸς Δωρόθεος. Τί εἴδους ἐπιστολὰς λοιπὸν νὰ τοῦ δώσω ὅταν ἀναχωρήσῃ πάλιν[4]; Διότι ἴσως συνοδεύσῃ τὸν καλὸν Σαγκτίσσιμον, ὁ ὁποῖος ἔχει πολὺν ζῆλον καὶ περιέρχεται τὴν Ἀνατολὴν καὶ συλλέγει ὑπογραφὰς καὶ ἐπιστολὰς ἀπὸ κάθε ἐπίσημον. Τί λοιπὸν πρέπει νὰ τοῦ γράψω διὰ μέσου αὐτῶν καὶ ποίαν στάσιν νὰ τηρήσω ἀπέναντι αὐτῶν ποὺ μᾶς ἔγραψαν, ἐγὼ εὑρίσκομαι εἰς ἀπορίαν. Ἐὰν δὲ εὕρῃς γρήγορα ἀνθρώπους ποὺ ἔρχονται πρὸς ἡμᾶς, καταξίωσε νὰ μᾶς πληροφορήσῃς δι' αὐτά.

τι, φησίν, ἀγήνωρ ἐστὶν ὁ ἀνήρ». Τῷ ὄντι γὰρ θεραπευόμενα τὰ ὑπερήφανα ἤθη ἑαυτῶν ὑπεροπτικώτερα γίνεσθαι πέφυκε. Καὶ γὰρ ἐὰν μὲν ἱλασθῇ ὁ Κύριος ἡμῖν, ποίας ἑτέρας προσθήκης δεόμεθα; Ἐὰν δὲ ἐπιμείνῃ ἡ ὀργὴ τοῦ Θεοῦ, ποία βοήθεια ἡμῖν τῆς δυτικῆς ὀφρύος; Οἱ τὸ ἀληθὲς οὔτε ἴσασιν οὔτε μαθεῖν ἀνέχονται, ψευδέσι δὲ ὑπονοίαις προειλημμένοι ἐκεῖνα ποιοῦσι νῦν ἃ πρότερον ἐπὶ Μαρκέλλῳ· πρὸς μὲν τοὺς τὴν ἀλήθειαν αὐτοῖς ἀπαγγέλλοντας φιλονεικήσαντες, τὴν δὲ αἵρεσιν δι' ἑαυτῶν βεβαιώσαντες. Ἐγὼ μὲν γὰρ αὐτός, ἄνευ τοῦ κοινοῦ σχήματος, ἐβουλόμην αὐτῶν ἐπιστεῖλαι τῷ κορυφαίῳ· περὶ μὲν τῶν ἐκκλησιαστικῶν οὐδέν, εἰ μὴ ὅσον παραινίξασθαι ὅτι οὔτε ἴσασι τῶν παρ' ἡμῖν τὴν ἀλήθειαν οὔτε τὴν ὁδὸν δι' ἧς ἂν μανθάνοιεν καταδέχονται, καθόλου δὲ περὶ τοῦ μὴ δεῖν τοῖς ὑπὸ τῶν πειρασμῶν ταπεινωθεῖσιν ἐπιτίθεσθαι μηδὲ ἀξίωμα κρίνειν ὑπερηφανίαν, ἁμάρτημα καὶ μόνον ἀρκοῦν ἔχθραν ποιῆσαι εἰς Θεόν.

---

5. Ἰλιάδος Ι,698 ἑ.

6. Ὁ Μάρκελλος Ἀγκύρας, ἀρχικῶς ὑποστηρικτὴς τῆς Ὀρθοδοξίας καὶ τοῦ συμβόλου τῆς Νικαίας, βραδύτερον δὲ νεοσαβελλιανιστής, δηλαδὴ ἀντιτριαδικὸς μοναρχιανός.

7. Τὸν ἐπίσκοπον Ρώμης Δάμασον.

8. Οἱ δυτικοὶ ὀρθόδοξοι ἐπίσκοποι ἔρριπταν τὴν χαριστικὴν βολὴν κατὰ τῶν ἡρώων τῆς Ὀρθοδοξίας Μελετίου Ἀντιοχείας καὶ Εὐσεβίου Σαμοσάτων, οἱ ὁποῖοι, ἐνῷ ἦσαν ἐξόριστοι ἀπὸ τοὺς φιλαρειανοὺς ἄρχοντας τῆς πολιτείας, ἐθεωροῦντο ὡς ἀρειανοὶ ἀπὸ τοὺς ἀντιαρειανοὺς ἱεράρχας τῆς Δύσεως.

Μοῦ ἔρχεται δὲ νὰ εἴπω τὰ λόγια τοῦ Διομήδους·

«μακάρι νὰ μὴ εἶχες ἱκετεύσει»,

«διότι», λέγει,

«ὁ ἄνδρας εἶναι πολὺ ὑπερήφανος» [5].

Πράγματι οἱ ὑπερήφανοι χαρακτῆρες, ὅταν κολακεύωνται, εἶναι φυσικὸν νὰ γίνωνται ὑπεροπτικώτεροι ἀπὸ ὅσον εἶναι. Ἐξ ἄλλου, ἐὰν ὁ Κύριος μᾶς εὐσπλαγχνισθῇ, ποίαν ἄλλην βοήθειαν χρειαζόμεθα; Ἐὰν δὲ συνεχισθῇ ἡ ἐναντίον μας ὀργὴ τοῦ Θεοῦ, ποίαν βοήθειαν ἠμπορεῖ νὰ μᾶς προσφέρῃ ἡ δυτικὴ ὀφρύς; Αὐτοὶ οὔτε γνωρίζουν τὴν ἀλήθειαν οὔτε ἀνέχονται νὰ τὴν μάθουν, ἀλλά, καθὼς εἶναι προκατειλημμένοι ἀπὸ ἀστηρίκτους ὑποψίας κάμνουν καὶ τώρα ὅσα ἔκαμαν εἰς τὴν περίπτωσιν τοῦ Μαρκέλλου [6], ὁπότε ἐμάχοντο πρὸς ἐκείνους ποὺ τοὺς ἔλεγαν τὴν ἀλήθειαν καὶ ἐστήριζαν μὲ τὴν στάσιν των τὴν αἵρεσιν.

Ἐγὼ μάλιστα σκέπτομαι νὰ γράψω πρὸς τὸν κορυφαῖον ἀπὸ αὐτοὺς [7] ἔξω ἀπὸ τοὺς συμβατισμοὺς τοῦ πρωτοκόλλου, ὄχι βέβαια τίποτε συγκεκριμένον περὶ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων, ἀλλὰ γενικῶς καὶ μόνον ὅσα χρειάζονται διὰ νὰ ὑπαινιχθῶ ὅτι οὔτε γνωρίζουν τὴν ἀλήθειαν περὶ τῆς καταστάσεως ποὺ ἐπικρατεῖ ἐδῶ οὔτε καταδέχονται ν' ἀκολουθήσουν τὴν ὁδὸν διὰ τῆς ὁποίας θὰ ἠδύναντο νὰ τὴν μάθουν· νὰ τοῦ γράψω δηλαδὴ ὅτι δὲν πρέπει νὰ ἐπιτίθενται ἐναντίον ἐκείνων οἱ ὁποῖοι ἔχουν ταλαιπωρηθῇ ἀπὸ τοὺς πειρασμοὺς [8] καὶ νὰ θεωροῦν ὡς ἀρετὴν τὴν ὑπερηφάνειαν, ἡ ὁποία εἶναι ἁμάρτημα ἀρκετὸν νὰ δημιουργήσῃ, μόνον του αὐτό, ἔχθραν πρὸς τὸν Θεόν.

49

268. ΕΥΣΕΒΙΩ ΕΝ ΕΞΟΡΙΑ ΟΝΤΙ

Ἔδειξε καὶ ἐφ' ἡμῶν ὁ Κύριος ὅτι οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ τῇ μεγάλῃ καὶ κραταιᾷ χειρὶ αὐτοῦ περισκεπάσας τὴν ζωὴν τῆς ὁσιότητός σου. Σχεδὸν γὰρ παραπλήσιον τοῦτο τιθέμεθα τὸ ἐν κοιλίᾳ κήτους ἀπαθῆ διαμεῖναι τὸν ἅγιον καὶ ἐν πυρὶ λάβρῳ ἀβλαβῶς διαιτᾶσθαι τοὺς φοβουμένους τὸν Κύριον, ὅπου γε καὶ τὴν σὴν θεοσέβειαν πανταχόθεν ὑμῖν, ὡς ἀκούω, τοῦ πολέμου περιχυθέντος σῶον διεφύλαξε. Καὶ φυλάξειέ γε πρὸς τὸ ἑξῆς ὁ δυνατὸς Θεὸς ἡμῖν, ἐὰν ἔτι ζῶμεν, τὸ πολύευκτον θέαμα, ἢ τοῖς γοῦν ἄλλοις οἳ τὴν σὴν ἐπάνοδον οὕτως ἀναμένουσιν ὡς οἰκείαν ἑαυτῶν σωτηρίαν. Πέπεισμαι γὰρ ὅτι τοῖς δάκρυσι τῶν Ἐκκλησιῶν καὶ τοῖς στεναγμοῖς οἷς ἐπὶ σοὶ πάντες στενάζουσι προσχὼν ὁ φιλάνθρωπος διαφυλάξει σε τῷ βίῳ, ἕως ἂν δῷ τὴν χάριν τοῖς νυκτὸς καὶ ἡμέρας δεομένοις αὐτοῦ. Τὰ μὲν οὖν μέχρι τῆς ἐπιδημίας τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν Λιβανίου τοῦ συνδιακόνου πεπραγμένα καθ' ὑμᾶς δι' αὐτοῦ κατὰ τὴν πάροδον ἱκανῶς ἐδιδάχθημεν, τὰ δὲ ἀπ' ἐκείνου τοῦ χρόνου δεόμεθα μαθεῖν. Μείζονα γὰρ ἐν τῷ μεταξὺ καὶ χαλεπώτερα ἀκούομεν γεγενῆσθαι πάθη περὶ τοὺς τόπους· ἅπερ, ἐὰν μὲν ᾖ δυνατόν, καὶ θᾶττον, εἰ δὲ μή, διὰ γοῦν τοῦ εὐλαβεστάτου ἀδελφοῦ Παύλου τοῦ συμπρε-

---

Ἐπιστολὴ 268. Ἐγράφη τὸ 377. Ὁ Εὐσέβιος εὑρίσκεται ἀκόμη εἰς τὴν ἐξορίαν ἐν Θράκῃ, ὁ δὲ Βασίλειος ἀνησυχεῖ δι' αὐτὸν λόγῳ τοῦ βυζαντινογοτθικοῦ πολέμου.

1. Πρόκειται περὶ τοῦ Ἰωνᾶ, βλ. ὁμώνυμον βιβλίον 2, 1-11.
2. Οἱ τρεῖς παῖδες, Δαν. 3, 20 ἑ.
3. Ὁ γοτθικὸς πόλεμος εὑρίσκετο ἤδη ἐν ἐξελίξει.
4. Οἱ Χριστιανοὶ τῶν Σαμοσάτων ἠρνήθησαν νὰ δεχθοῦν εἰς κοινωνίαν τοὺς ὑπὸ τῶν Ἀρειανῶν ἀποσταλέντας εἰς ἀντικατάστασιν τοῦ Εὐσεβίου ἐπισκόπους Εὐνόμιον καὶ ἔπειτα Λούκιον. Ἡ εὐχὴ τοῦ Βασιλείου ἱκανο-

49

ΕΠΙΣΤΟΛΗ 268
ΠΡΟΣ ΤΟΝ ΕΞΟΡΙΣΤΟΝ ΕΥΣΕΒΙΟΝ

Καὶ εἰς τὴν ἐποχήν μας ἀκόμη ἔδειξεν ὁ Κύριος ὅτι δὲν ἐγκαταλείπει τοὺς ὁσίους αὐτοῦ, ἀφοῦ ἐσκέπασε τὴν ζωὴν τῆς ὁσιότητός σου μὲ τὴν μεγάλην καὶ κραταιὰν χεῖρά των. Θεωροῦμεν δὲ τοῦτο σχεδὸν παραπλήσιον μὲ τὴν παραμονὴν τοῦ ἁγίου σώου εἰς τὴν κοιλίαν τοῦ κήτους [1] καὶ μὲ τὴν ἀβλαβῆ διαβίωσιν τῶν φοβουμένων τὸν Κύριον εἰς λάβρον πῦρ [2], ἐφ' ὅσον καὶ τὴν θεοσέβειάν σου διεφύλαξεν ἀβλαβῆ, ἐνῷ ὁ πόλεμος ἐμαίνετο γύρω σου ἀπὸ κάθε πλευράν, ὅπως ἀκούω [3]. Καὶ εἴθε ὁ δυνατὸς Θεὸς νὰ διαφυλάξῃ εἰς τὸ μέλλον σέ, τὸ πολυπόθητον θέαμα, καὶ δι' ἡμᾶς, ἂν θὰ ζῶμεν ἀκόμη, ἀλλὰ πάντως διὰ τοὺς ἄλλους, οἱ ὁποῖοι περιμένουν τὴν ἐπάνοδόν σου ὡς ἰδικήν των σωτηρίαν [4]. Διότι εἶμαι πεπεισμένος ὅτι ὁ φιλάνθρωπος Θεός, εἰσακούων τὰ δάκρυα τῶν Ἐκκλησιῶν καὶ τοὺς στεναγμοὺς τοὺς ὁποίους ἐκβάλλουν ὅλοι διὰ σέ, θὰ σὲ διαφυλάξῃ εἰς ζωήν, ἕως ὅτου δώσῃ τὴν χάριν εἰς ἐκείνους οἱ ὁποῖοι τὸν ἱκετεύουν νύκτα καὶ ἡμέραν.

Λοιπὸν ἐπληροφορήθημεν ἐπαρκῶς ὅσα ἐπράχθησαν ἐναντίον σας μέχρι τῆς ἀφίξεως τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν συνδιακόνου Λιβανίου, ὅταν ἐπέρασεν ἀπὸ ἐδῶ, θέλομεν δὲ νὰ μάθωμεν τὰ μετέπειτα. Διότι ἀκούομεν ὅτι εἰς τὴν περιοχὴν αὐτὴν ἔχουν συμβῆ μεγαλύτεραι καὶ χειρότεραι συμφοραί. Αὐτὰ θὰ ἠθέλαμεν νὰ μάθωμεν, ἐὰν εἶναι δυνατὸν καὶ γρηγορώτερα, ἀλλ' ἐὰν δὲν εἶναι, τοὐλάχιστον διὰ τοῦ εὐλαβεστάτου ἀδελφοῦ Παύλου τοῦ συμπρεσβυτέρου [5] κατὰ τὴν ἐπά-

---

ποιήθη τὸ ἑπόμενον ἔτος· ἀλλὰ μόνον ἐν μέρει, διότι ὁ Εὐσέβιος ἐπέστρεψε μέν, ἀπέθανε δὲ μετ' ὀλίγον.

5. Ὁ διάκονος Λιβάνιος καὶ ὁ πρεσβύτερος Παῦλος ἦσαν κληρικοὶ τῶν Σαμοσάτων, χρησιμοποιηθέντες ὡς σύνδεσμοι μὲ τὸν ἐξόριστον ἐπίσκοπόν των.

σβυτέρου ἐπανιόντος μάθοιμεν, ὡς εὐχόμεθα, ὅτι ἀβλαβὴς καὶ ἀνεπηρέαστος ὑμῶν φυλάττεται ἡ ζωή. Διὰ δὲ τὸ ἀκοῦσαι πάντα λῃστῶν καὶ δησερτόρων πεπληρῶσθαι τὰ τῆς ὁδοῦ ἐφοβήθημέν τι εἰς χεῖρας ἐμβαλεῖν τοῦ ἀδελφοῦ, μὴ καὶ αὐτῷ παραίτιοι θανάτου γενώμεθα. Ἐὰν δὲ δῷ ὁ Κύριος μετρίαν γαλήνην, ὡς ἀκούομεν τοῦ στρατοπέδου τὴν πάροδον, σπουδάσομεν καὶ τῶν ἡμετέρων ἐκπέμψαι τινά, τὸν καὶ ἐπισκεψόμενον καὶ ἕκαστα ἡμῖν τῶν παρ' ὑμῖν ἀγγελοῦτα.

νοδόν του· εἴθε νὰ μάθωμεν τότε ὅτι ἡ ζωή σας φυλάσσεται ἀβλαβὴς καὶ ἀνεπηρέαστος, ὅπως εὐχόμεθα.

Ἐπειδὴ δὲ ἠκούσαμεν ὅτι ὅλοι οἱ δρόμοι εἶναι γεμᾶτοι ἀπὸ ληστὰς καὶ λιποτάκτας, ἐφοβήθημεν νὰ δώσωμεν τίποτε εἰς χεῖρας τοῦ ἀδελφοῦ, μήπως γίνωμεν αἴτιοι θανάτου αὐτοῦ. Ἐὰν δὲ δώσῃ ὁ Κύριος μετρίαν γαλήνην, καθὼς ἀκούομεν ἄφιξιν στρατεύματος, θὰ προσπαθήσωμεν νὰ στείλωμεν καὶ κάποιον ἰδικόν μας, διὰ νὰ σᾶς ἐπισκεφθῇ καὶ νὰ μᾶς μεταφέρῃ εἰδήσεις περὶ τῆς καταστάσεώς σας.

Ε'

ΕΠΙΣΤΟΛΑΙ
ΠΡΟΣ ΜΕΛΕΤΙΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

Κατὰ τὴν Α' οἰκουμενικὴν σύνοδον τῆς Νικαίας (325) ἐπίσκοπος Ἀντιοχείας ἦτο ὁ Εὐστάθιος, ὁ ὁποῖος μάλιστα ὑπῆρξε καὶ εἷς ἀπὸ τοὺς τρεῖς προϊσταμένους τῆς ὀρθοδόξου μερίδος. Κατόπιν συκοφαντιῶν τῶν Ἀρειανῶν ἐξωρίσθη τὸ 330 ἐπὶ Μεγάλου Κωνσταντίνου εἰς τὴν Θράκην, ὅπου καὶ ἀπέθανεν. Οἱ ὀπαδοί του, τὸ μέγα πλῆθος τοῦ χριστιανικοῦ λαοῦ τῆς Ἀντιοχείας, δὲν ὑπετάγησαν εἰς τοὺς διαδόχους του ἐπισκόπους, ἀρειανικῆς προελεύσεως. Οὕτω προέκυψε τὸ σχίσμα τῆς Ἀντιοχείας.

Ἀργότερα ὅμως ἐδημιουργήθη σχίσμα καὶ μέσα εἰς τὴν ὀρθόδοξον παράταξιν. Πράγματι τὸ 360 ἐξελέγη ἀρχιεπίσκοπος Ἀντιοχείας ὁ Μελέτιος. Πολὺ εὐσεβής, πρᾶος, εὐθὺς καὶ μορφωμένος, εἶχεν ἐμπλακῆ εἰς μίαν ἀπὸ τὰς ἀρειανικὰς μερίδας τῆς ἐποχῆς ἐκείνης, τὴν τῶν Ὁμοίων, λόγῳ φιλικῶν του σχέσεων μὲ ὡρισμένους ἡγέτας των πιθανῶς. Τὸ 358 μία φιλαρειανικὴ σύνοδος εἰς τὴν Μελιτηνήν, ἰδιαιτέραν πατρίδα τοῦ Μελετίου, ἐκήρυξεν ἔκπτωτον τὸν τότε ἐπίσκοπον Σεβαστείας τῆς Ἀρμενίας Εὐστάθιον, ἀρειανὸν τῆς μερίδος τῶν Ὁμοιουσιανῶν, καὶ ἐξέλεξεν ὡς ἀντικαταστάτην του τὸν Μελέτιον. Ἀλλ' οὗτος, ἐπειδὴ ὁ λαὸς τῆς Σεβαστείας δὲν τὸν ἐδέχθη, ἠναγκάσθη νὰ καταφύγῃ εἰς τὴν Βέροιαν τῆς Συρίας. Τὸ ἑπόμενον ἔτος ὑπέγραψεν ἕνα σύμβολον τῶν Ὁμοίων.

Ἡ ἐκλογή του ὡς ἀρχιεπισκόπου Ἀντιοχείας ἔγινεν ἀπὸ τοὺς κυριαρχοῦντας τότε διὰ τῆς ὑποστηρίξεως τοῦ αὐτοκράτορος Κωνσταντίου Ὁμοίους καὶ εἰς τὴν ἐνθρόνισίν του παρίσταντο οἱ διακεκριμένοι ἀρειανοὶ Γεώργιος (ἀντιεπίσκοπος) Ἀλεξανδρείας

καὶ 'Ακάκιος Βεροίας, ὅπως ἐπίσης καὶ ὁ ἴδιος ὁ αὐτοκράτωρ. "Ολοι αὐτοὶ τὸν παρεκάλεσαν νὰ ὁμιλήσῃ ἐπὶ τοῦ περιφήμου χωρίου τῶν Παροιμιῶν (8, 22), «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ», διὰ ν' ἀποδείξῃ εἰς τὸ ἐκκλησίασμα ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ εἶναι κτίσμα. 'Αλλ' αὐτὸς τοὺς ἀπεγοήτευσεν· ὡμίλησε κατὰ τρόπον ἀπολύτως ὀρθόδοξον πρὸς χαρὰν τῶν 'Ορθοδόξων καὶ ὀργὴν τῶν 'Αρειανῶν. Οὕτω μετὰ μῆνα ἐπῆρε τὸν δρόμον τῆς ἐξορίας. Καὶ ἐπέστρεψε μὲν μετὰ δύο ἔτη ἐπὶ 'Ιουλιανοῦ, ἀλλὰ τὸ 365 ἐξωρίσθη πάλιν καὶ ἔμεινε μακρὰν τοῦ ποιμνίου του μέχρι τοῦ θανάτου τοῦ Οὐάλεντος (378) εἰς τὸ χωρίον Γήτασα.

'Ηγέτης τῶν ὀρθοδόξων ὀπαδῶν τῆς Νικαίας εἰς τὴν 'Αντιόχειαν ἦτο μέχρι τοῦ 360 ὁ πρεσβύτερος Παυλῖνος. "Οταν ἐνεθρονίσθη ἐκεῖ ὡς ἀρχιεπίσκοπος ὁ πρώην ἀρειανὸς Μελέτιος, τὸ μὲν πολὺ πλῆθος τὸν ἠκολούθησεν, ὄχι ὅμως καὶ οἱ φανατικοὶ 'Ορθόδοξοι, οἱ ὁποῖοι ἔμειναν πιστοὶ εἰς τὸν Παυλῖνον. Τὸ 362 μετέβαινεν ἐκεῖ ἀντιπροσωπεία τῆς συνόδου 'Αλεξανδρείας, διὰ νὰ διευθετήσῃ τὴν διαφοράν, ἀλλὰ πρὶν φθάσῃ αὐτή, ὁ Λούκιφερ Καλάρεως τῆς Σαρδηνίας ἐχειροτόνησεν ἐπίσκοπον τὸν Παυλῖνον. Οὕτως ἔχομεν πλέον δύο ὀρθοδόξους ἐπισκόπους καὶ συνεπῶς σχίσμα, τὸ ὁποῖον διήρκεσε περίπου 40 ἔτη. 'Η μὲν Δύσις καὶ μὲ κάποιον δισταγμὸν ἡ Αἴγυπτος ἀναγνωρίζουν ὡς κανονικὸν ἐπίσκοπον τὸν Παυλῖνον καὶ τοὺς διαδόχους του, οἱ ὁποῖοι δὲν εἶχαν παρὰ μόνον μίαν μικρὰν ἐνορίαν. Τὸ 'Ιλλυρικὸν κυμαίνεται, ἐνῷ οἱ περισσότεροι τῆς 'Ανατολῆς ἀναγνωρίζουν τὸν Μελέτιον.

'Ο Μέγας Βασίλειος, ἐκτιμῶν τὸ ἦθος, τὴν μετριοπάθειαν καὶ τὰ ἄλλα προσόντα του, ὄχι μόνον ἐκοινωνοῦσε μαζί του, ἀλλὰ καὶ ἀνέλαβεν ἐπίμοχθον ἀγῶνα διὰ νὰ ἐπιβάλῃ τὴν ἀναγνώρισίν του εἰς ὅλους, βοηθούμενος ἀπὸ τὸν Εὐσέβιον Σαμοσάτων.

Κατ' ἀρχὰς ἐστράφη πρὸς τὸν 'Αθανάσιον, ὁ ὁποῖος εἶχε τὸ παράπονον ὅτι τὸ 364, μεταβὰς εἰς τὴν 'Αντιόχειαν καὶ ζητήσας κοινωνίαν ἀπὸ τὸν Μελέτιον, δὲν εὗρεν ἄμεσον ἀνταπόκρισιν· ὅθεν ὑπωπτεύετο τὰ φρονήματά του, ἔστω καὶ ἂν ἦτο ἐξόριστος ἀπὸ τοὺς 'Αρειανούς. Τοῦ ἀπέστειλε πολλὰς ἐπιστολὰς διὰ τοῦ διακόνου τοῦ Μελετίου Δωροθέου τὸ 371 καὶ ἀργότερα, πιθανῶς δὲ θὰ

τὸν μετέπειθεν· ἀλλ' ὁ γέρων Ἀθανάσιος ἀπέθανε τὸ 373 καὶ ὁ διάδοχός του Πέτρος ἦτο σταθερῶς ἀφωσιωμένος εἰς τὸν Παυλῖνον.

Πρὸς τοὺς Δυτικοὺς ὁ Βασίλειος ἔστειλεν ἐπανειλημμένως ἐπιστολὰς διὰ τοῦ Δωροθέου, διακόνου κατ' ἀρχὰς καὶ ἔπειτα πρεσβυτέρου, ὡς καὶ διὰ τοῦ πρεσβυτέρου Σαγκτισσίμου, συνήγειρε δὲ καὶ τοὺς ὀρθοδόξους ἐπισκόπους τῆς Ἀνατολῆς, διὰ γὰ διαδηλώσουν τὴν ἐκτίμησίν των πρὸς τὸν Μελέτιον. Αἱ ἀποστολαὶ αὐταί, κατὰ τὰ ἔτη 371, 376, 377, ἀσήμαντα ἀποτελέσματα εἶχαν. Εἰς τὴν πρώτην ἡ συνοδικὴ ἀπάντησις τοῦ ἐπισκόπου Ρώμης Δαμάσου ἔδιδε κοινωνίαν εἰς τὸν Βασίλειον, ἀλλ' ἀπεσιωποῦσε τὴν Ἀντιόχειαν καὶ ὁ ἀπεσταλμένος αὐτοῦ διάκονος Σαβῖνος δὲν ἠδύνατο νὰ δώσῃ λύσιν. Ἀργότερα οἱ Δυτικοὶ ἔστειλαν τὸν πρεσβύτερον Εὐάγριον, εὐγενοῦς καταγωγῆς κληρικὸν τῆς Ἀντιοχείας ὁ ὁποῖος πρὸ ἐτῶν εἶχεν ἀκολουθήσει τὸν Εὐσέβιον Βερκέλλης καὶ διέμενεν εἰς τὴν Δύσιν, διὰ νὰ ἐξετάσῃ τὰ πράγματα. Ἐπειδὴ ὁ Βασίλειος ἦτο ἐπιφυλακτικὸς εἰς τὰς προτάσεις τῶν Δυτικῶν, διαβλέπων ὑπεροπτικὰς τάσεις ἐπιβολῆς, ὁ Εὐάγριος ἐκοινώνησε μὲ τὸν Παυλῖνον, μεταβὰς δὲ εἰς τὴν Δύσιν προέτεινε τὴν ἀναγνώρισιν αὐτοῦ.

Ὁ Δάμασος Ρώμης ἔστειλεν ἐπίσημον ἀναγνωριστικὴν ἐπιστολὴν καὶ ὁ Παυλῖνος κατώρθωσε νὰ παρασύρῃ εἰς ὑποστήριξίν του τὸν στρατηγὸν Τερέντιον, τὸν ὁποῖον συνεκράτησεν ὁ Βασίλειος. Κατὰ τὴν δευτέραν ἀποστολὴν καὶ τὴν τρίτην αἱ διαθέσεις τῆς Ρώμης ἦσαν ἐνθαρρυντικώτεραι, ἀλλ' ὁ Βασίλειος μετ' ὀλίγον ἀπέθανεν.

Ὁ Μελέτιος ἀπέθανε τὸ 381, ἐνῷ προήδρευε τῆς Β' οἰκουμενικῆς συνόδου Κωνσταντινουπόλεως, τὸν διεδέχθη δὲ ὁ Φλαβιανός. Ὁ πρῶτος ἐχειροτόνησε τὸν Ἰωάννην Χρυσόστομον διάκονον, ὁ δεύτερος πρεσβύτερον. Τὸν Παυλῖνον διεδέχθη τὸ 388 ὁ ἀνωτέρω μνημονευθεὶς Εὐάγριος.

Ἀπὸ τὰς δημοσιευομένας ἐδῶ ἐπιστολὰς ἡ ὑπ' ἀριθμὸν 57 εἶναι φιλική, αἱ ἑπόμεναι τρεῖς ἀναφέρονται εἰς τὰ ἐκτεθέντα ἀνωτέρω γεγονότα (68, 69, 216). Ἡ ἑπομένη ὑπ' ἀριθμὸν 214 ἀπευθύνεται πρὸς τὸν Τερέντιον, τὸν ὁποῖον προτρέπει νὰ μὴ προ-

βῇ εἰς ἐνεργείας κρατικῆς ἀναγνωρίσεως τοῦ Παυλίνου, διότι τὸν θεωρεῖ ὕποπτον σαβελλιανισμοῦ. Ἡ πρὸς τὸν Δωρόθεον (215) θίγει τὸ θέμα νέας ἀποστολῆς εἰς τὴν Δύσιν. Εἶχε ριφθῇ ἡ ἰδέα νὰ μεταβῇ ὁ ἀδελφὸς τοῦ Βασιλείου Γρηγόριος Νύσσης, ὁ δὲ Βασίλειος δηλώνει ὅτι ὁ Γρηγόριος δύναται νὰ ἐπιτύχῃ σπουδαῖα πράγματα, ὑπὸ τὸν ὅρον ὅτι θὰ εὕρῃ σώφρονα ἄνθρωπον πρὸς συζήτησιν, ἐνῷ ἂν εὕρῃ κανένα ἐπηρμένον, δὲν θὰ ἐπιτύχῃ τίποτε, λόγῳ τῆς ἀρνήσεώς του νὰ καλύπτῃ τὴν ἀλήθειαν μὲ προσποιήσεις καὶ συμβατικὰς ἐκφράσεις.

Αἱ λοιπαὶ ἐπιστολαὶ εἶναι ἐνθαρρυντικαί, ὡς αἱ πρὸς τὴν Ἐκκλησίαν Ἀντιοχέων (140), πρὸς Θεόδοτον Βεροίας (185), πρὸς τὸν λαὸν τῆς Βεροίας (220), πρὸς Χαλκιδεῖς (222), αἱ δύο τελευταῖαι ἐπ' εὐκαιρίᾳ ἀρειανικῶν διωγμῶν, ἢ συστατικαὶ ὑπὲρ τοῦ Σαγκτισσίμου (253, 254, 255), ὁ ὁποῖος περιῶδευε πρὸς συλλογὴν ἐπιστολῶν καὶ ὑπογραφῶν.

50

57. ΜΕΛΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

Εἴ πως ἐγένετο φανερὸν τῇ θεοσεβείᾳ σου τῆς εὐφροσύνης τὸ μέγεθος ἣν ἐμποιεῖς ἡμῖν ὁσάκις ἄν ἐπιστέλλῃς, οἶδα ὅτι οὐκ ἄν ποτε παραπεσοῦσαν γραμμάτων πρόφασιν ὑπερέβης, ἀλλὰ καὶ ἐπενόησας ἂν πολλὰς ἡμῖν ποιεῖν ἑκάστοτε τὰς ἐπιστολάς, γνωρίζων τὸν ἐπὶ τῇ ἀναπαύσει τῶν θλίψεων παρὰ τοῦ φιλανθρώπου Δεσπότου μισθὸν ἀποκείμενον. Πάντα γὰρ ὀδύνης τὰ τῇδε πεπλήρωται, καὶ μόνη ἡμῖν ἐστιν ἀποστροφὴ τῶν δεινῶν ἡ τῆς σῆς ὁσιότητος ἔννοια· ἣν ἐναργεστέραν ἡμῖν ἐμποιεῖ ἡ διὰ τῶν πάσης σοφίας καὶ χάριτος πεπληρωμένων γραμμάτων σου ὁμιλία. Ὥστε, ὅταν λάβωμεν εἰς χεῖρας τὴν ἐπιστολήν σου, πρῶτον μὲν τὸ μέτρον αὐτῆς ἐπισκοποῦμεν καὶ τοσοῦτον αὐτὴν ἀγαπῶμεν ὅσῳπερ ἂν περισσεύῃ τῷ πλήθει. Ἔπειτα διεξιόντες, τῷ μὲν ἀεὶ προστυγχάνοντι τοῦ λόγου χαίρομεν, τῷ τέλει δὲ τῆς ἐπιστολῆς προσεγγίζοντες δυσχεραίνομεν. Οὕτω πᾶν ὅτιπερ ἂν εἴπῃς τοῖς γράμμασιν ἔνεστιν ἀγαθόν. Ἀπὸ γὰρ ἀγαθῆς καρδίας ἀγαθὸν ἐστι τὸ περισσεῦον. Εἰ δὲ καταξιωθείημεν ταῖς σαῖς προσευχαῖς, ἕως ἐσμὲν ἐπὶ γῆς, καὶ τῆς κατ' ὀφθαλμοὺς συντυχίας καὶ παρ' αὐτῆς τῆς ζώσης φωνῆς λαβεῖν ὠφέλιμα διδάγματα, ἢ ἐφόδια πρός τε τὸν ἐνεστῶτα αἰῶνα καὶ τὸν μέλλοντα, τοῦτο ἂν μέγιστον τῶν ἀγαθῶν ἐκοίναμεν καὶ προοίμιον τῆς παρὰ Θεοῦ εὐμενείας ἑαυτοῖς ἐτιθέ-

---

Ἐπιστολὴ 57. Ἐγράφη εἰς τὴν ἀρχὴν τοῦ ἀρχιερατικοῦ σταδίου τοῦ Βασιλείου, ἴσως τὸ 371, ὁπότε ἡ κατάστασις εἰς τὴν Ἐκκλησίαν τῆς Καισαρείας ἦτο ἀκόμη ἀσταθής. Περὶ τοῦ Μελετίου λέγονται τὰ δέοντα εἰς τὸ εἰσαγωγικὸν σημείωμα. Μὲ τὴν πρώτην αὐτὴν σωζομένην ἐπιστολὴν πρὸς τὸν ἐξόριστον Μελέτιον ὁ Βασίλειος ἐγκαινιάζει μίαν εἰλικρινῆ φιλίαν καὶ μίαν πολιτικὴν συνενώσεως ὅλων τῶν ὀρθοδόξων δυνάμεων. Οἱ ὑπαινιγμοὶ εἰς τὸ τέλος τῆς ἐπιστολῆς ἀναφέρονται εἰς τὸ θέμα τοῦτο ἀκριβῶς.

ΕΠΙΣΤΟΛΗ 57
ΠΡΟΣ ΜΕΛΕΤΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

Ἐὰν ἡ θεοσέβειά σου ἠμποροῦσε ν' ἀντιληφθῇ κάπως τὸ μέγεθος τῆς εὐφροσύνης ποὺ ἐμπνέεις εἰς ἡμᾶς ὁσάκις γράφῃς, γνωρίζω ὅτι δὲν θ' ἄφηνες νὰ περάσῃ καμμία εὐκαιρία δι' ἀποστολὴν γράμματος· θὰ ἐπινοοῦσες μάλιστα ἀφορμὰς διὰ νὰ μᾶς γράφῃς συχνὰ ἀφοῦ γνωρίζεις τὴν ἀμοιβὴν ποὺ ἐπιφυλάσσεται ἀπὸ τὸν φιλάνθρωπον Δεσπότην διὰ τὴν περίπτωσιν ψυχαγωγήσεως τῶν θλιβομένων. Διότι τὰ πάντα ἐδῶ εἶναι γεμᾶτα ὀδύνην καὶ ἡ μόνη διαφυγὴ ἀπὸ τὰ δεινὰ εἶναι ἡ σκέψις τῆς ὁσιότητός σου· τὴν ὁποίαν καθιστᾷ ζωντανωτέραν ἡ ἐπικοινωνία μὲ τὰ γεμᾶτα ἀπὸ κάθε σοφίαν καὶ χάριν γράμματά σου. Ὥστε, ὅταν λάβωμεν εἰς χεῖρας τὴν ἐπιστολήν σου, πρῶτον μὲν παρατηροῦμεν τὴν ἔκτασίν της· τόσον περισσότερον δὲ τὴν ἀγαπῶμεν ὅσον ξεπερνᾷ εἰς μῆκος τὰ συνήθη μέτρα. Ἔπειτα, καθὼς τὴν διαβάζομεν, δοκιμάζομεν χαρὰν διὰ κάθε λόγον ποὺ συναντῶμεν, ἐνῷ, καθὼς προσεγγίζομεν εἰς τὸ τέλος αὐτῆς, στενοχωρούμεθα. Τόσον ἀγαθὸν εἶναι ὅ,τι καὶ νὰ λέγῃς εἰς τὰς ἐπιστολάς σου! Διότι τὸ περίσσευμα ποὺ ρέει ἀπὸ ἀγαθὴν καρδίαν εἶναι ἀγαθόν.

Ἐὰν δὲ μὲ τὰς προσευχάς σου καταξιωθῶμεν, ἕως ὅτου εἴμεθα ἐπὶ γῆς, καὶ νὰ συναντηθῶμεν πρόσωπον πρὸς πρόσωπον καὶ νὰ λάβωμεν ὠφέλιμα διδάγματα καὶ διὰ ζώσης φωνῆς ἢ ἐφόδια καὶ διὰ τὸν παρόντα καὶ διὰ τὸν μέλλοντα αἰῶνα, τοῦτο θὰ τὸ ἐκτιμήσωμεν ὡς τὸ μεγαλύτερον τῶν ἀγαθῶν καὶ θὰ τὸ θεωρήσωμεν ὡς δεῖγμα τῆς ἐκ μέρου τοῦ Θεοῦ εὐμενείας πρὸς ἡμᾶς. Καὶ ἤδη θὰ εἴχαμεν πραγματοποιήσει αὐ-

μεθα. Καὶ ἤδη γε τῆς ὁρμῆς εἰχόμεθα ταύτης, εἰ μὴ γνησιώτατοι καὶ τὰ πάντα φιλάδελφοι ἐπέσχον ἡμᾶς, ὧν ἵνα μὴ γράμματι δημοσιεύσω τὴν προαίρεσιν, διηγησάμην τῷ ἀδελφῷ Θεοφράστῳ τὰ καθ' ἕκαστον ἀπαγγεῖλαι τῇ σῇ τελειότητι.

51

68. ΜΕΛΕΤΙΩ ΕΠΙΣΚΟΠΩ ΑΝΤΙΟΧΕΙΑΣ

Τέως μὲν ἠβουλήθημεν κατασχεῖν παρ' ἑαυτοῖς τὸν εὐλαβέστατον ἀδελφὸν Δωρόθεον τὸν συνδιάκονον, ὥστε ἐπὶ τῷ τέλει τῶν πραγμάτων ἀποπεμψάμενοι γνωρίσαι δι' αὐτοῦ ἕκαστα τῶν πεπραγμένων τῇ τιμιότητί σου. Ἐπειδὴ δὲ ἡμέραν ἐξ ἡμέρας ὑπερτιθέμενοι εἰς πολὺ τοῦ χρόνου παρετάθημεν, καὶ ἅμα, ὡς ἐν ἀπόροις, βουλή τις ἡμῖν ἐνέπεσε περὶ τῶν προκειμένων, ἀπεστείλαμεν τὸν προειρημένον ἄνδρα καταλαβεῖν ὑμῶν τὴν ὁσιότητα καὶ δι' ἑαυτοῦ τε ἀνενεγκεῖν ἕκαστα καὶ τὸ ὑπομνηστικὸν ἡμῶν ἐπιδεῖξαι, ἵνα εἰ φανείη χρησίμως ἔχειν τὰ παρ' ἡμῶν ἐννοηθέντα, εἰς ἔργον ἐλθεῖν παρὰ τῆς ὑμετέρας τελειότητος σπουδασθείη. Ὡς δὲ συντόμως εἰπεῖν, γνώμη ἐκράτησεν ἐπὶ τὴν Ῥώμην διαβῆναι τὸν αὐτὸν τοῦτον ἀδελφὸν ἡμῶν Δωρόθεον διαναστῆσαί τινας τῶν ἀπὸ τῆς Ἰταλίας πρὸς τὴν ἐπίσκεψιν ἡμῶν θαλάσσῃ χρησαμένους, ἵνα τοὺς ἐμποδίζοντας διαφύγωσι. Τοὺς γὰρ παραδυναστεύοντας τοῖς κρατοῦσιν εἶδον μηδὲν βουλομένους μήτε δυναμένους ὑπομιμνήσκειν αὐτὸν περὶ τῶν ἐκβεβλημένων, ἀλλὰ τὸ μή τι χεῖρον ἰδεῖν ἐν ταῖς Ἐκκλησίαις γιγνόμενον κέρδος τιθεμένους. Εἰ

Ἐπιστολὴ 68. Ἐγράφη τὸ 371. Ὁ Βασίλειος θέτει ἤδη εἰς ἐνέργειαν σχέδιον ρυθμίσεως τοῦ ζητήματος τῆς Ἐκκλησίας Ἀντιοχείας δι' ἐπαφῆς μὲ τὴν Ρώμην.

1. Οἱ φίλοι τοῦ Βασιλείου εἰς τὰ ἀνάκτορα δὲν ἔβλεπαν διατεθειμένον τὸν αὐτοκράτορα Οὐάλεντα νὰ ἐπιτρέψῃ εἰς τοὺς ἐξορίστους ὀρθοδόξους ἐπισκόπους ἐπάνοδον εἰς τὰς ἕδρας των, περιλαμβανομένου καὶ τοῦ Μελετίου.

τὸν τὸν πόθον, ἐὰν δὲν μᾶς εἶχαν σταματήσει οἱ γνησιώτατοι καὶ πραγματικὰ φιλάδελφοι ἀδελφοί. Διὰ νὰ μὴ ἀναφέρω γραπτῶς τὰς προθέσεις των, τὰ εἶπα εἰς τὸν ἀδελφὸν Θεόφραστον, διὰ νὰ τὰ ἐκθέσῃ λεπτομερῶς εἰς τὴν τελειότητά σου.

51

ΕΠΙΣΤΟΛΗ 68
ΠΡΟΣ ΜΕΛΕΤΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

Ἠθελήσαμεν ἕως τώρα νὰ κρατήσωμεν πλησίον μας τὸν εὐλαβέστατον ἀδελφὸν Δωρόθεον, τὸν συνδιάκονον, ὥστε, ἀποστέλλοντες αὐτὸν ὀπίσω μετὰ τὴν ἀποπεράτωσιν τοῦ ἔργου μας, νὰ γνωστοποιήσωμεν δι' αὐτοῦ εἰς τὴν τιμιότητά σου λεπτομερῶς τ' ἀποτελέσματα τῶν ἐνεργειῶν. Ἐπειδὴ ὅμως ἀνεβάλαμεν ἀπὸ ἡμέρας εἰς ἡμέραν, ἠργοπορήσαμεν ἐπὶ πολύ. Ἐν τῷ μεταξὺ δὲ ἐνώπιον τοῦ ἀδιεξόδου, μᾶς ἦλθε μία σκέψις περὶ τῶν πρακτέων καὶ ἀπεστείλαμεν τὸν προαναφερθέντα ἄνδρα νὰ συναντήσῃ τὴν ὁσιότητά σας, διὰ ν' ἀναφέρῃ προφορικῶς τὰ πάντα καὶ νὰ σοῦ παρουσιάσῃ τὸ μνημόνιον ἡμῶν, οὕτως ὥστε ἐὰν φανοῦν χρήσιμοι αἱ σκέψεις ἡμῶν, νὰ τεθοῦν ταχέως εἰς ἐνέργειαν ἀπὸ τὴν ὑμετέραν τελειότητα.

Διὰ νὰ μὴ τὰ πολυλογῶμεν, ἐπεκράτησεν εἰς ἡμᾶς ἡ ἄποψις νὰ μεταβῇ εἰς τὴν Ρώμην ὁ αὐτὸς ἀδελφὸς ἡμῶν Δωρόθεος, διὰ νὰ παρακινήσῃ μερικοὺς ἀπὸ τὴν Ἰταλίαν νὰ μᾶς ἐπισκεφθοῦν, καὶ μάλιστα διὰ θαλάσσης, ὥστε ν' ἀποφύγουν ἐκείνους ποὺ ἐνδεχομένως θὰ τοὺς ἠμπόδιζαν. Διότι ἀντελήφθην ὅτι οἱ ἰσχυροὶ εἰς τὴν βασιλικὴν αὐλὴν δὲν θέλουν καὶ δὲν δύνανται νὰ προκαλέσουν τὸ ἐνδιαφέρον τοῦ αὐτοκράτορος διὰ τοὺς ἐξορίστους, ἀλλὰ θεωροῦν ὡς κέρδος νὰ μὴ ἴδουν νὰ γίνεται κάτι χειρότερον εἰς τὰς Ἐκκλησίας[1]. Ἐὰν λοιπὸν ἡ σκέψις αὐτὴ φαίνεται καὶ εἰς τὴν φρόνησίν σου χρήσιμος, θὰ σὲ παρα-

οὖν καὶ τῇ σῇ φρονήσει χρήσιμον εἶναι τὸ βούλευμα παρασταίη, καταξιώσεις καὶ ἐπιστολὰς τυπῶσαι καὶ ὑπομνηστικὰ ὑπαγορεῦσαι περὶ ὧν χρὴ διαλεχθῆναι αὐτὸν καὶ πρὸς τίνας. Ὥστε δὲ ἔχειν τινὰ ἀξιοπιστίαν τὰ γράμματα, συμπαραλήψει πάντως τοὺς ὁμογνώμονας, κἂν μὴ παρῶσι. Τὰ δ' ἐνταῦθα ἔτι ἐστὶν ἐν ἀδήλῳ, τοῦ Εὐϊππίου παραγενομένου μέν, μηδὲν δὲ τέως ἐκφήναντος. Ἀπειλοῦσι μέντοι καὶ συνδρομήν τινα ὁμογνωμόνων αὐτοῖς ἔκ τε τῆς Ἀρμενίας τῆς Τετραπόλεως καὶ ἐκ τῆς Κιλικίας.

52

89. ΜΕΛΕΤΙΩ ΕΠΙΣΚΟΠΩ

1. Ὁ ἀγαθὸς Θεός, παρασχόμενος ἡμῖν προφάσεις προσηγοριῶν πρὸς τὴν σὴν τιμιότητα, τὸ σφοδρὸν τοῦ πόθου παραμυθεῖται. Μάρτυς γὰρ αὐτὸς τῆς ἐπιθυμίας ἡμῶν ἣν ἔχομεν εἰς τὸ θεάσασθαί σου τὸ πρόσωπον καὶ ἀπολαῦσαι τῆς ἀγαθῆς σου καὶ ψυχωφελοῦς διδασκαλίας. Καὶ νῦν δὲ διὰ τοῦ εὐλαβεστάτου καὶ σπουδαιοτάτου ἀδελφοῦ Δωροθέου, τοῦ συνδιακόνου ἐρχομένου, παρακαλοῦμέν σε προηγουμένως προσεύχεσθαι ὑπὲρ ἡμῶν, ἵνα μὴ πρόσκομμα ὦμεν τῷ λαῷ μηδὲ ἐμπόδιον ταῖς ὑμετέραις εὐχαῖς πρὸς τὸ δυσωπῆσαι τὸν Κύριον. Ἔπειτα καὶ ὑπομιμνήσκομεν καταξιῶσαί σε πάντα τυπῶσαι διὰ τοῦ προειρημένου ἀδελφοῦ, καί, εἴ τι δεῖ ἐπισταλῆναι τοῖς κατὰ τὴν Λύσιν, διὰ τὸ ὀφείλειν ἀναγκαίως καὶ δι'

---

2. Οἱ Ἀρειανοὶ ἐκινοῦντο γύρω ἀπὸ τὴν Καισάρειαν, διὰ νὰ εὕρουν τρόπον νὰ ἐκπορθήσουν τὸν Βασίλειον, προεξάρχοντος τοῦ ἐπισκόπου Εὐϊππίου.

Ἐπιστολὴ 89. Ἐγράφη πρὸ τοῦ Πάσχα τοῦ 372. Ὁ Δωρόθεος εἶχεν ἤδη φέρει ἐπιστολὴν τοῦ ἐπισκόπου Ρώμης Δαμάσου πρὸς τὸν Βασίλειον, μὲ τὴν ὁποίαν ἐκεῖνος ἀνεκοίνωνε κοινωνίαν πίστεως, ἀλλὰ δὲν προσέφερε καμμίαν βοήθειαν εἰς τὴν λύσιν τοῦ θέματος τῆς Ἐκκλησίας Ἀντιοχείας καὶ τῶν ἄλλων προβλημάτων τῆς Ἀνατολῆς. Ἀντὶ δὲ νὰ στείλῃ διαπρεπεῖς προσωπικότητας πρὸς συζήτησιν τῶν θεμάτων ὁ ἐπίσκοπος Ρώμης, ἔστει-

καλέσω νὰ συντάξῃς ἐπιστολὰς καὶ νὰ ὑπαγορεύσῃς μνημόνια σχετικῶς μὲ τὸ ποῖα ζητήματα πρέπει νὰ συζητήσῃ αὐτὸς καὶ μὲ ποίους. Διὰ νὰ ἔχουν δὲ κῦρος τὰ γράμματα, νὰ συμπεριλάβῃς ὁπωσδήποτε τὰ ὀνόματα τῶν ὁμοφρόνων σου, ἀκόμη καὶ ἂν δὲν εἶναι παρόντες.

Τὰ δὲ ἐδῶ πράγματα εἶναι ἀκόμη ἀβέβαια, διότι ἦλθε μὲν ὁ Εὐΐππιος, ἀλλὰ δὲν ἐξεδηλώθη ἀκόμη ἕως τώρα. Πάντως ἀπειλοῦν συνάθροισιν ὁμοφρόνων των, τόσον ἀπὸ τὴν Τετράπολιν τῆς Ἀρμενίας, ὅσον καὶ ἀπὸ τὴν Κιλικίαν [2].

52

ΕΠΙΣΤΟΛΗ 89
ΠΡΟΣ ΜΕΛΕΤΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

1. Ὁ ἀγαθὸς Θεός, παρέχων εἰς ἡμᾶς εὐκαιρίας νὰ στέλλωμεν χαιρετισμοὺς πρὸς τὴν τιμιότητά σου, παραμυθεῖ τὸν σφοδρότατον πόθον. Διότι αὐτὸς εἶναι μάρτυς τοῦ πόσην ἐπιθυμίαν ἔχομεν νὰ ἴδωμεν τὸ πρόσωπόν σου καὶ ν' ἀπολαύσωμεν τῆς ἀγαθῆς καὶ ψυχωφελοῦς διδασκαλίας σου. Καὶ τώρα δέ, διὰ τοῦ εὐλαβεστάτου καὶ σπουδαιοτάτου ἀδελφοῦ Δωροθέου, τοῦ συνδιακόνου, ὁ ὁποῖος ἔρχεται αὐτοῦ, σὲ παρακαλοῦμεν πρῶτα νὰ εὔχεσαι ὑπὲρ ἡμῶν, διὰ νὰ μὴ εἴμεθα πρόσκομμα εἰς τὸν λαὸν οὔτε ἐμπόδιον εἰς τὰς εὐχάς σας διὰ τὴν ἐξιλέωσιν τοῦ Κυρίου.

Ἔπειτα σοῦ ὑπενθυμίζομεν νὰ καταξιώσῃς νὰ συντάξῃς ἔκθεσιν μὲ ὅλα τὰ στοιχεῖα, διὰ τοῦ προειρημένου ἀδελφοῦ, καὶ ἂν χρειάζεται νὰ σταλῇ κάτι εἰς τὴν Δύσιν, διότι κατ' ἀνάγκην πρέπει καὶ ἀπὸ τῆς πλευρᾶς μας νὰ σταλοῦν εἰς αὐτοὺς

λε μόνον τὸν διάκονον Σαβῖνον. Ὁ Βασίλειος λοιπὸν προτείνει τώρα ν' ἀποσταλῇ συνοδικὴ ἐπιστολὴ πρὸς τοὺς Δυτικοὺς ἐκ μέρους τοῦ Μελετίου καὶ τῶν φίλων του.

ἡμετέρου αὐτοῖς ἀπενεχθῆναι γράμματα, αὐτὸν ὑπαγορεῦσαι τὰς ἐπιστολάς. Ἡμεῖς γὰρ ἐπιτυχόντες Σαβίνου, τοῦ παρ' αὐτῶν ἀποσταλέντος διακόνου, ἐπεστείλαμεν πρός τε τοὺς Ἰλλυριοὺς καὶ πρὸς τοὺς κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν ἐπισκόπους καί τινας τῶν ἰδίως πρὸς ἡμᾶς ἐπιστειλάντων. Εὔλογον δὲ ὡς ἀπὸ κοινοῦ τῆς συνόδου ἀποσταλῆναί τινα τὸν κομίζοντα δεύτερα γράμματα, ἅπερ αὐτὸς κέλευσον τυπωθῆναι.

2. Καὶ περὶ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Ἀθανασίου, ἀκριβῶς γινώσκουσαν τὴν τελείαν σου φρόνησιν ὑπομιμνήσκομεν ὅτι ἀμήχανον τοῖς παρ' ἐμοῦ γράμμασιν ἐπιδοῦναι ἢ ποιῆσαί τι τῶν ὀφειλομένων, ἐὰν μὴ καὶ παρ' ὑμῶν, τῶν τότε τὴν κοινωνίαν αὐτοῦ ἀναβαλλομένων, δέξηταί τινα τρόπον. Αὐτὸς γὰρ λέγεται πάνυ ὡρμῆσθαι πρὸς τὸ συναφθῆναι ἡμῖν καὶ κατὰ δύναμιν συμβαλέσθαι, λυπεῖσθαι δὲ ὅτι καὶ τότε παρεπέμφθη ἀκοινώνητος καὶ ἔτι νῦν ἀτελεῖς μένουσιν αἱ ὑποσχέσεις. Τάδε κατὰ τὴν Ἀνατολὴν ὅπως διάκειται οὐκ ἔλαθε πάντως τὰς ἀκοὰς τῆς θεοσεβείας σου, καὶ δι' ἑαυτοῦ δὲ ἀκριβέστερον πάντα ὁ προειρημένος ἀδελφὸς διηγήσεται. Ὃν καταξίωσον εὐθὺς ἐκπέμψαι μετὰ τὸ Πάσχα, διὰ τὸ ἀναμένειν τὰς ἀπὸ Σαμοσάτων ἀποκρίσεις· οὗ καὶ τὴν προθυμίαν ἀπόδεξαι καὶ εὐχαῖς αὐτὸν ἐνισχύσας πρόπεμψον εἰς τὰ προκείμενα.

---

1. Ὁ Ἀθανάσιος εἶχε τὸ παράπονον ὅτι ὁ Μελέτιος δὲν τὸν ἐδέχθη εἰς κοινωνίαν κάποτε εἰς τὸ παρελθόν, τὸ 364.

2. Αἱ σκέψεις αἱ ὁποῖαι διεβιβάσθησαν διὰ τῶν ἐπιστολῶν τοῦ Βασιλείου καὶ προφορικῶς διὰ τοῦ Δωροθέου περὶ ἀποκαταστάσεως τῶν σχέσεων μεταξὺ Μελετίου καὶ Ἀθανασίου ἐθεωροῦντο ἀτελεῖς ὑπὸ τοῦ δευτέρου. Φαίνεται ὅτι οὗτος ἐζητοῦσε σαφῆ δήλωσιν τοῦ Μελετίου περὶ τῆς πίστεώς του καὶ αἴτησιν συγγνώμης περὶ τῆς παλαιᾶς συμπεριφορᾶς του.

γράμματα δι' ἰδικοῦ μας προσώπου, σὺ ὁ ἴδιος νὰ ὑπαγορεύσῃς τὰς ἐπιστολάς. Διότι ἡμεῖς ἐπ' εὐκαιρίᾳ τῆς συναντήσεως μὲ τὸν Σαβῖνον, τὸν διάκονον ποὺ ἐστάλη ἀπὸ αὐτούς, ἐστείλαμεν γράμματα πρὸς τοὺς Ἰλλυριοὺς καὶ τοὺς ἐπισκόπους τῆς Ἰταλίας καὶ τῆς Γαλλίας, ὡς καὶ ἰδιωτικῶς πρὸς μερικοὺς ἀδελφοὺς οἱ ὁποῖοι μᾶς εἶχαν γράψει προσωπικῶς. Εἶναι δὲ εὔλογον νὰ σταλῇ κάποιος ἐκπρόσωπος μεταφέρων δεύτερον γράμμα κοινὸν τῆς συνόδου, τὸ ὁποῖον νὰ παραγγείλῃς σὺ ὁ ἴδιος νὰ συνταχθῇ.

2. Καὶ περὶ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Ἀθανασίου ὑπενθυμίζομεν εἰς τὴν τελείαν σου σύνεσιν, ἡ ὁποία συνήθως γνωρίζει ἀκριβῶς τὰ πράγματα, ὅτι εἶναι ἀδύνατον τὰ γράμματά μου νὰ προωθήσουν καὶ πραγματοποιήσουν κάτι ἀπὸ ὅσα εἶναι ἀπαραίτητα, ἐὰν δὲν δεχθῇ καὶ ἀπὸ σᾶς, οἱ ὁποῖοι τότε τοῦ εἴχατε ἀρνηθῇ κοινωνίαν, κάποιαν διαβεβαίωσιν περὶ αὐτῆς[1]. Διότι λέγεται ὅτι αὐτὸς ἔχει πολὺ προσπαθήσει νὰ συνδεθῇ μαζὶ μὲ ἡμᾶς καὶ ἔχει κάμει ὅ,τι ἦτο δυνατὸν ἐκ μέρους του, λυπεῖται δὲ ὅτι καὶ τότε ἀπεμακρύνθη ἀκοινώνητος καὶ τώρα αἱ πρὸς αὐτὸν δοθεῖσαι ὑποσχέσεις μένουν ἀτελεῖς[2].

Πῶς δὲ πηγαίνουν αἱ ὑποθέσεις τῆς Ἀνατολῆς, ἀσφαλῶς δὲν διέφυγε τὴν ἀκοὴν τῆς θεοσεβείας σου, καὶ προφορικῶς δὲ θὰ σοῦ διηγηθῇ τὰ πάντα ἀκριβέστερον ὁ προειρημένος ἀδελφός. Σὲ παρακαλῶ δὲ νὰ τὸν ἀποστείλῃς εὐθὺς μετὰ τὸ Πάσχα, διότι περιμένομεν τὰς ἀποκρίσεις ἀπὸ τὰ Σαμόσατα. Πρόπεμψέ τον λοιπόν, ἀφοῦ ἐπαινέσῃς τὴν προθυμίαν του καὶ τὸν ἐνισχύσῃς μὲ τὰς εὐχάς σου.

53

216. ΜΕΛΕΤΙΩ ΕΠΙΣΚΟΠΩ ΑΝΤΙΟΧΕΙΑΣ

Πολλαὶ μὲν ἡμᾶς καὶ ἄλλαι ἀποδημίαι τῆς πατρίδος ἀπήγαγον. Καὶ γὰρ μέχρι τῆς Πισιδίας διέβημεν, ὥστε μετὰ τῶν ἐκεῖ ἐπισκόπων τὰ κατὰ τοὺς ἐν τῇ Ἰσαυρίᾳ ἀδελφοὺς τυπῶσαι. Κἀκεῖθεν ἡ ἐπὶ τὸν Πόντον ἡμᾶς διεδέξατο ἀποδημία, ἱκανῶς τὸν Δαζιμῶνα ταράξαντος τοῦ Εὐσταθίου καὶ πολλοὺς ἀναπείσαντος τῶν ἐκεῖ ἀποσχισθῆναι τῆς Ἐκκλησίας ἡμῶν. Ἐγενόμεθα δὲ καὶ μέχρι τοῦ οἰκιδίου τοῦ ἀδελφοῦ ἡμῶν, ὃ διὰ τὸ προσεγγίζειν τοῖς κατὰ Νεοκαισάρειαν τόποις πολλῆς μὲν τοῖς ἐκεῖ ταραχῆς παρέσχεν αἰτίαν, πολλῆς δὲ ὕβρεως ἡμῖν ὑπόθεσιν προεξένησεν. Οἱ μὲν γὰρ ἔφευγον οὐδενὸς διώκοντος, ἡμεῖς δὲ ἐνομιζόμεθα ἐπιθυμίᾳ τῶν παρ' αὐτοῖς ἐπαίνων καὶ ἄκλητοι εἰσωθίζεσθαι. Ἐπεὶ δὲ ἐπανήλθομεν ἐκ τῶν ὄμβρων καὶ τῶν ἀθυμιῶν πολλὴν ἀρρωστίαν συναγαγόντες, εὐθὺς ἡμᾶς ἐκ τῆς Ἀνατολῆς κατέλαβε γράμματα σημαίνοντα τοῖς περὶ Παυλῖνον ἀπὸ τῆς Δύσεως ἐπιστολάς τινας ὥσπερ τινὸς ἀρχῆς συνθήματα κεκομίσθαι, καὶ μέγα

Ἐπιστολὴ 216. Ἐγράφη τὸ φθινόπωρον τοῦ 375. Ἀποτελεῖ σύντομον ἔκθεσιν περὶ τῶν κινήσεων τοῦ Βασιλείου καὶ τῆς καταστάσεως τῆς Ἐκκλησίας τὸ φθινόπωρον τοῦ 375. Οἱ Δυτικοὶ ἀνεκοίνωσαν ἐπίσημον ἀναγνώρισιν τοῦ Παυλίνου, ἐνῷ ὁ Μελέτιος παραμένει ἐξόριστος. Βλέπε σχετικὰ τὴν ἐπιστολὴν 214 κατωτέρω.

1. Ἡ ἐπαρχία Ἰσαυρίας ἦτο τμῆμα τῆς περιοχῆς ἡ ὁποία μητροπολιτικῶς ὑπήγετο εἰς τὸν ἀρχιεπίσκοπον Ἰκονίου Ἀμφιλόχιον. Διὰ τὰ προβλήματά της βλ. ἐπιστολὴν 190 πρὸς Ἀμφιλόχιον Ἰκονίου.

2. Ὁ Εὐστάθιος Σεβαστείας, παλαιὸς φίλος, ἔκαμε τώρα τὸ πᾶν διὰ νὰ μειώσῃ τὸ κῦρος τοῦ Βασιλείου. Ἔφθασε μέχρι τοῦ σημείου, ὥστε, φιλαρειανὸς αὐτός, νὰ διώξῃ τοὺς Ἀρειανοὺς τῆς Ἀμασείας καὶ τῆς Ζήλας εἰς τὸν Πόντον, διὰ νὰ συγκινήσῃ τοὺς Ὀρθοδόξους καὶ τοὺς ἀποσπάσῃ ἀπὸ τὴν ἐπιρροὴν τοῦ Βασιλείου.

53

ΕΠΙΣΤΟΛΗ 216
ΠΡΟΣ ΜΕΛΕΤΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

Καὶ πολλὰ ἄλλα ταξίδια μᾶς ἀπεμάκρυναν ἀπὸ τὴν πατρίδα. Διότι πράγματι ἐφθάσαμεν ἕως τὴν Πισιδίαν, διὰ νὰ ρυθμίσωμεν τὰ θέματα τῶν Χριστιανῶν τῆς Ἐκκλησίας τῆς Ἰσαυρίας μαζὶ μὲ τοὺς ἐκεῖ ἐπισκόπους[1]. Ἀπὸ ἐκεῖ τὸ ταξίδιον μᾶς ἔφερεν εἰς τὸν Πόντον, διότι ὁ Εὐστάθιος ἐτάραξε σοβαρῶς τὸν Δαζιμῶνα καὶ ἔπεισε πολλοὺς ἀπὸ τοὺς ἐκεῖ πιστοὺς ν' ἀποσχισθοῦν ἀπὸ τὴν Ἐκκλησίαν ἡμῶν[2].

Ἐφθάσαμεν δὲ καὶ μέχρι τοῦ οἰκίσκου τοῦ ἀδελφοῦ μας Πέτρου[3], πρᾶγμα τὸ ὁποῖον, λόγῳ τῆς προσεγγίσεως τούτου πρὸς τὴν περιοχὴν τῆς Νεοκαισαρείας, εἰς τοὺς ἐκεῖ μὲν ἔγινεν αἰτία πολλῆς ταραχῆς, εἰς ἡμᾶς δὲ ἐπροξένησεν ἀφορμὴν νὰ ὑποστῶμεν μεγάλην προσβολήν. Διότι αὐτοὶ μὲν ἐπεδόθησαν εἰς τὴν φυγὴν[4] χωρὶς νὰ τοὺς διώκῃ κανείς, ἡμεῖς δὲ ἐθεωρούμεθα ὡς ἐρχόμενοι πιεστικῶς ἀπρόσκλητοι ἀπὸ ἐπιθυμίαν τῶν ἐπαίνων των.

Ὅταν δὲ ἐπανήλθαμεν, ἀφοῦ συνεκεντρώσαμεν πολλὴν ἀρρώστειαν ἀπὸ τὰς βροχὰς καὶ τὰς στενοχωρίας, ἀμέσως μᾶς ἔφθασε γράμμα ἀπὸ τὴν Ἀνατολήν[5], λέγον ὅτι οἱ τῆς παρατάξεως τοῦ Παυλίνου ἔλαβαν ἀπὸ τὴν Δύσιν ἐπιστολάς, σὰν εἶδος ἀναγνωρίσεως τῆς ἐξουσίας των, καὶ ὅτι οἱ στασιασταὶ τῆς περιοχῆς ἐκείνης ἐκαυχῶντο καὶ ἦσαν ἐνθουσιασμένοι

---

3. Ὁ ἀδελφὸς αὐτὸς τοῦ Βασιλείου ἦτο ἡγέτης τῆς μοναχικῆς κοινότητος ποὺ εἶχεν ἱδρύσει παλαιότερα οὗτος εἰς τὸν Ἶριν ποταμόν. Ἀργότερα ἔγινεν ἐπίσκοπος Σεβαστείας.

4. Ὁ ἐπίσκοπος Νεοκαισαρείας Ἀτάρβιος, συγγενὴς τοῦ Βασιλείου, καὶ οἱ συνεργάται του, οἱ ὁποῖοι διέκοψαν τὴν μετ' αὐτοῦ κοινωνίαν, διότι ἔκλιναν πρὸς τὸν Σαβελλιανισμόν.

5. Ἀνατολὴ ἐλέγετο τότε ἡ ἀνατολικωτέρα διοίκησις τοῦ ρωμαϊκοῦ καὶ ἔπειτα τοῦ βυζαντινοῦ κράτους, ἔχουσα πρωτεύουσαν τὴν Ἀντιόχειαν.

φρονεῖν τοὺς στασιαστὰς τοῦ μέρους ἐκείνου καὶ ἐπαγάλλεσθαι τοῖς γράμμασιν, εἶτα καὶ πίστιν προτείνεσθαι καὶ ἐπὶ ταύτῃ ἑτοίμως ἔχειν συνάπτεσθαι τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ. Πρὸς δὲ τούτοις κἀκεῖνο ἡμῖν ἀπηγγέλη ὅτι ὑπηγάγοντο πρὸς τὴν ὑπὲρ αὐτῶν σπουδὴν τὸν πάντα ἄριστον ἄνδρα Τερέντιον, ᾧ ταχέως ἐπέστειλα καθ' ὅσον ἦν μοι δυνατόν, ἐπέχων αὐτὸν τῆς ὁρμῆς καὶ διδάσκων τὴν κατ' αὐτοὺς ἀπάτην.

54

214. ΠΡΟΣ ΤΕΡΕΝΤΙΟΝ ΚΟΜΗΤΑ

1. Ὅτε ἠκούσαμεν τὴν σεμνότητά σου πάλιν ἐκβεβιάσθαι πρὸς τὴν τῶν κοινῶν ἐπιμέλειαν, εὐθὺς μὲν διεταράχθημεν (εἰρήσεται γὰρ τἀληθὲς) λογιζόμενοι ὅπως σοι παρὰ γνώμην ἐστὶν ἅπαξ ἀφεθέντι τῶν δημοσίων φροντίδων καὶ σχολάσαντι τῇ ἐπιμελείᾳ τῆς ἑαυτοῦ ψυχῆς πάλιν ἀναγκάζεσθαι πρὸς τὰ αὐτὰ ἐπιστρέφειν. Ἔπειτα εἰς ἔννοιαν ἐλθόντες ὅτι τάχα ὁ Κύριος βουλόμενος τῶν μυρίων ὀδυνῶν, αἳ νῦν τὰς καθ' ἡμᾶς Ἐκκλησίας συνέχουσι, μίαν ταύτην χαρίσασθαι παραμυθίαν, τὴν σὴν σεμνοπρέπειαν πάλιν ᾠκονόμησεν ἐπὶ τῶν πραγμάτων φανῆναι, καὶ δὴ καὶ εὐθυμότεροι ἦμεν ὡς μέλλοντες ἔτι γοῦν ἅπαξ, πρὶν ἀπιέναι τῆς ζωῆς ταύτης, συντεύξεσθαι τῇ τιμιότητί σου.

Ἐπιστολὴ 214. Ὁ στρατηγὸς καὶ κόμης Τερέντιος ποὺ εἶχεν ἀποσυρθῆ ἀπὸ τὴν ὑπηρεσίαν, λόγῳ ἡλικίας προφανῶς, ἦτο δὲ καὶ πιστὸς ὀρθόδοξος, ὑπεχρεώθη ν' ἀσχοληθῆ πάλιν μὲ τὰ δημόσια τώρα. Σταλεὶς δὲ εἰς τὴν Ἀντιόχειαν, κατέβαλε προσπαθείας μαζὶ μὲ τὰς ἐπιτοπίους ἀρχὰς καὶ ἴσως ὑπὸ τὴν ἐποπτείαν τοῦ αὐτοκράτορος Οὐάλεντος, ὁ ὁποῖος εὑρίσκετο τότε εἰς τὴν περιοχὴν ἐκείνην, νὰ εἰρηνεύσῃ τὰ πνεύματα εἰς τὴν Ἐκκλησίαν αὐτὴν καὶ φαίνεται ὅτι ἔτεινε νὰ ὑποστηρίξῃ τὴν ὑπὸ τὸν Παυλῖνον μερίδα τῶν αὐστηρῶς Ὀρθοδόξων τοὺς ὁποίους ἤθελε νὰ φέρῃ εἰς κοινωνίαν μὲ

διὰ τὰ γράμματα, καὶ μάλιστα ἔπειτα προέτειναν σύμβολον βάσει τοῦ ὁποίου ἦσαν ἕτοιμοι νὰ συνδεθοῦν μὲ τὴν ἰδικήν μας Ἐκκλησίαν. Ἐπὶ πλέον δὲ ἐλέχθη πρὸς ἡμᾶς καὶ ἐκεῖνο, ὅτι παρέσυραν ὑπὲρ τῶν ἀπόψεών των τὸν κατὰ πάντα ἄριστον ἄνδρα Τερέντιον, εἰς τὸν ὁποῖον ἔγραψα κατὰ τὸ δυνατὸν ταχύτερον, προσπαθῶν νὰ συγκρατήσω τὴν ὁρμήν του καὶ νὰ τοῦ ἀποκαλύψω τὴν ἀπάτην των.

54

ΕΠΙΣΤΟΛΗ 214
ΠΡΟΣ ΤΟΝ ΚΟΜΗΤΑ ΤΕΡΕΝΤΙΟΝ

1. Ὅταν ἠκούσαμεν ὅτι ἡ ἐξοχότης σου ὑπεχρεώθη πάλιν ν' ἀναλάβῃ δημόσιον ἀξίωμα, κατ' ἀρχὴν μὲν ἐταράχθημεν (διότι πρέπει νὰ λεχθῇ ἡ ἀλήθεια), σκεπτόμενοι πόσον ἀντίθετον πρὸς τὴν διάθεσίν σου εἶναι, ἀφοῦ εἶχες ἐγκαταλείψει τὰς πολιτικὰς ὑποθέσεις καὶ ἀφοσιωθῇ εἰς τὴν ἐπιμέλειαν τῆς ψυχῆς σου, νὰ ἀναγκασθῇς νὰ ἐπιστρέψῃς εἰς τὰ ἴδια. Ἀλλ' ἔπειτα ἀπὸ καλυτέραν σκέψιν ἐθεωρήσαμεν ὅτι ἴσως ὁ Κύριος, θέλων νὰ χαρίσῃ κάποιαν παραμυθίαν διὰ τὰς μυρίας θλίψεις ποὺ συνέχουν τὰς Ἐκκλησίας μας, ἐρρύθμισεν ὥστε ἡ ἐξοχότης σου νὰ παρουσιασθῇ πάλιν εἰς δημόσια πράγματα καὶ ἠσθάνθημεν περισσοτέραν χαράν, ἐλπίζοντες ὅτι, πρὶν φύγωμεν ἀπὸ τὴν ζωὴν αὐτήν, θὰ συναντήσωμεν ἀκόμη μίαν φορὰν τὴν τιμιότητά σου.

τὸν Βασίλειον, ἐνῷ οὗτος ἦτο θερμὸς ὑποστηρικτὴς τοῦ ἐξορίστου Μελετίου.

Ὁ Βασίλειος γράφει τὴν ἐπιστολὴν τὸ φθινόπωρον τοῦ 375, μὲ σκοπὸν νὰ τὸν κερδήσῃ πρὸς τὴν ἰδικήν του γραμμήν, ἡ ὁποία συνίστατο εἰς τὴν ἀναγνώρισιν τοῦ Μελετίου ὡς μοναδικοῦ ἐπισκόπου Ἀντιοχείας καὶ τὴν κατ' ἄλλον τρόπον τακτοποίησιν τοῦ Παυλίνου. Ὁ ἐπίσκοπος Ρώμης Δάμασος ὅμως εἶχεν ἤδη γράψει ἀναγνωριστικὴν ὑπὲρ τοῦ Παυλίνου ἐπιστολήν.

2. Ἀλλὰ πάλιν ἡμᾶς ἑτέρα φήμη κατέσχεν, ὡς ἐπὶ τῆς Ἀντιοχείας διάγοντος καὶ τὰ ἐν χερσὶ πράγματα ταῖς μεγάλαις ἀρχαῖς συνδιέποντος. Πρὸς δὲ τῇ φήμῃ ταύτῃ κατέλαβεν ἡμᾶς ἀκοὴ ὅτι καὶ οἱ τῆς κατὰ Παυλῖνον συντάξεως ἀδελφοὶ διαλέγονται τῇ ὀρθότητί σου περὶ τῆς πρὸς ἡμᾶς ἑνώσεως, ἡμᾶς δὲ λέγω τοὺς τῆς μερίδος τοῦ ἀνθρώπου τοῦ Θεοῦ, Μελετίου τοῦ ἐπισκόπου. Οὓς καὶ γράμματα ἀκούω νῦν τῶν Δυτικῶν περιφέρειν αὐτοῖς τὴν ἐπισκοπὴν τῆς κατὰ Ἀντιόχειαν Ἐκκλησίας ἐπιτρέποντα, παραλογιζόμενα δὲ τὸν θαυμασιώτατον ἐπίσκοπον τῆς ἀληθινῆς τοῦ Θεοῦ Ἐκκλησίας Μελέτιον. Καὶ οὐ θαυμάζω τοῦτο. Οἱ μὲν γὰρ ἀγνοοῦσι παντελῶς τὰ ἐνταῦθα, οἱ δὲ καὶ δοκοῦντες εἰδέναι φιλονεικότερον μᾶλλον ἢ ἀληθέστερον αὐτοῖς ἐξηγοῦνται. Πλὴν ἀλλ' ἐκείνους μὲν οὐδὲν ἀπεικὸς ἀγνοεῖν τὴν ἀλήθειαν ἢ καὶ ἀποκρύπτεσθαι τὴν αἰτίαν δι' ἣν εἰς τὸ γράφειν Παυλίνῳ ἦλθεν ὁ μακαριώτατος ἐπίσκοπος Ἀθανάσιος. Τὴν δὲ σὴν τελειότητα αὐτοῦ ἔχουσαν τοὺς δυναμένους τὰ μεταξὺ τῶν ἐπισκόπων γενόμενα ἐπὶ τῆς Ἰοβιανοῦ βασιλείας ἀκριβῶς διηγήσασθαι παρακαλοῦμεν ὑπ' αὐτῶν διδαχθῆναι. Πλὴν ἀλλ' ἐπειδὴ οὐδενὸς κατηγοροῦμεν, πρὸς πάντας δὲ ἔχειν εὐχόμεθα τὴν ἀγάπην καὶ μάλιστα πρὸς τοὺς οἰκείους τῆς πίστεως, συγχαίρομεν τοῖς κομισαμένοις τὰ ἀπὸ Ῥώμης γράμματα. Κἂν τινα σεμνὴν καὶ μεγάλην ἔχῃ αὐτοῖς μαρτυρίαν, εὐχόμεθα ἀληθεύειν αὐτὴν δι' αὐτῶν τῶν ἔργων βεβαιουμένην. Οὐ μέντοι τούτου γε ἕνεκεν δυνάμεθα ἑαυτοὺς πεῖσαί ποτε ἢ Μελέτιον ἀγνοῆσαι ἢ τῆς ὑπ' αὐτὸν Ἐκκλησίας ἐπιλαθέσθαι ἢ τὰ ζητήματα ὑπὲρ ὧν ἐξ ἀρχῆς ἡ διάστασις γέγονε μικρὰ ἡγήσασθαι καὶ ὀλίγην ἔχειν νομίσαι διαφορὰν πρὸς τὸν τῆς εὐσεβείας σκοπόν. Ἐγὼ γάρ, οὐχ ὅπως εἰ ἐπιστολήν τις ἀνθρώπων

1. Ἐννοεῖ τὸν αὐτοκράτορα Οὐάλεντα.

2. Ὁ Παυλῖνος εἶχε χειροτονηθῆ ἐπίσκοπος Ἀντιοχείας τὸ 362 ὑπὸ τοῦ ἐπισκόπου Καλάρεως Σαρδηνίας Λουκίφερος, ἐνῷ ὑπῆρχεν ἤδη ἐπίσκοπος ἐγκατεστημένος ἐκεῖ ἀπὸ διετίας, ἔστω καὶ ἐξόριστος ἤδη, ὁ Μελέτιος.

3. Γράμμα τοῦ ἐπισκόπου Ρώμης Δαμάσου.

4. Ὁ αὐτοκράτωρ Ἰοβιανὸς (363-364) κατὰ τὸ ὀκτάμηνον διάστημα τῆς βασιλείας του ὑπεστήριξε τὴν ὀρθόδοξον παράταξιν.

Εἰς τὴν ἐπιστολὴν 66 ὁ Βασίλειος ἀρχίζει τὴν ἐφαρμογὴν τοῦ σχεδίου του. Τονίζει ὅτι ὁ μόνος ἱκανὸς νὰ θεραπεύσῃ τὰ δεινὰ εἶναι ὁ Ἀθανάσιος καὶ ὁ τρόπος θεραπείας εἶναι νὰ πείσῃ αὐτὸς μὲ τὴν ἀναμφισβήτητον αὐθεντίαν του τοὺς Δυτικοὺς νὰ παύσουν

ἀναγνωρίζοντες δύο ἀνθρώπους, οἱ ὁποῖοι ἀπεδείχθησαν κακόδοξοι, ἐννοῶν προφανῶς τὸν Μάρκελλον Ἀγκύρας καὶ τὸν Παυλῖνον Ἀντιοχείας.

Ἀλλ' εἰς τὴν ἐπιστολὴν αὐτὴν δὲν προέτεινε συγκεκριμένα μέτρα. Ὁ Δωρόθεος, διάκονος τότε τοῦ Μελετίου, ποὺ μετέφερε τὴν ἐπιστολήν, ἦλθε πάλιν εἰς τὸν Βασίλειον καὶ τοῦ διεβίβασε τὴν ἄποψιν τοῦ Ἀθανασίου νὰ ἐκθέσῃ σαφέστερα τὰς προτάσεις του. Καὶ αὐτὸς τότε δηλώνει ὅτι ὡς λύσιν τοῦ ἀντιοχειανοῦ θέματος βλέπει μόνον τὴν συσπείρωσιν ὅλων τῶν Ὀρθοδόξων τῆς περιοχῆς ἐκείνης ὑπὸ τὸν Μελέτιον (ἐπιστολὴ 67). Εἰς ἄλλην ἐπιστολὴν (69) τὸν παρακαλεῖ νὰ προπέμψῃ τὸν Δωρόθεον εἰς τὸ ταξίδι του πρὸς τὴν Δύσιν, ἐφοδιάζων αὐτὸν μὲ τὰ ἀπαραίτητα συστατικὰ γράμματα. Ἐπειδὴ δέ, ὡς φαίνεται, ἐπληροφορήθη πάλιν περὶ δισταγμοῦ τοῦ Ἀθανασίου νὰ προτείνῃ ἀναγνώρισιν τοῦ Μελετίου, τοῦ ἔστειλε καὶ ἄλλην ἔκκλησιν ἐπὶ τοῦ θέματος (ἐπιστολὴ 82). Ὅλαι αὐταὶ αἱ ἐπιστολαὶ ἐγράφησαν τὸ 371.

Ὡς λέγομεν ἀλλοῦ, ὁ Δωρόθεος μετέβη εἰς τὴν Δύσιν καὶ ἐπέστρεψε πάλιν δι' Ἀλεξάνδρειαν τὸ 372. Ἐν τῷ μεταξὺ ὁ Βασίλειος ἐζήτησεν ἀπὸ τὸν Μελέτιον σαφῆ δήλωσιν ὅτι ἀποδέχεται τὴν κοινωνίαν τοῦ Ἀθανασίου, διὰ νὰ φύγῃ ἀπὸ αὐτὸν ἡ παλαιὰ πικρία. Ὁ Μελέτιος πιθανὸν τὸ ἔπραξεν, ἀλλ' ἦτο πλέον ἀργά, διότι ὁ Ἀθανάσιος ἀπέθανε τὸ 373.

Εἰς τὸ τέλος τῆς σειρᾶς αὐτῆς δημοσιεύονται δύο ἐπιστολαὶ πρὸς τὸν διάδοχον τοῦ Ἀθανασίου Πέτρον. Εἰς τὴν πρώτην (133) ὁ Βασίλειος τοῦ εὔχεται νὰ διαδεχθῇ ἐπίσης καὶ τὰ προσόντα τοῦ μεγάλου πατρός, ἐνῷ εἰς τὴν δευτέραν (266) ἀπαντᾷ εἰς γράμμα ἐκείνου, διὰ νὰ τὸν πληροφορήσῃ σχετικῶς μὲ τὴν στάσιν του ἔναντι τῆς ὑποδοχῆς ὀπαδῶν τοῦ Μαρκέλλου Ἀγκύρας εἰς τὴν Ὀρθοδοξίαν, ἀλλὰ καὶ διὰ νὰ τοῦ παρατηρήσῃ μὲ λεπτότητα ὅτι κακῶς εἰς τὴν Ρώμην ἐχαρακτήρισεν ὡς ἀρειανοὺς τοὺς ὑπὸ τῶν Ἀρειανῶν διωκομένους Μελέτιον Ἀντιοχείας καὶ Εὐσέβιον Σαμοσάτων.

61. ΑΘΑΝΑΣΙΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ἐνέτυχον τοῖς γράμμασι τῆς ὁσιότητός σου, δι' ὧν τοῦ ἡγεμόνος τῆς Λιβύης, τοῦ δυσωνύμου ἀνδρός, κατεστέναξας. Καὶ ὠδυράμεθα μὲν τὴν ἑαυτῶν πατρίδα, ὅτι τοιούτων κακῶν μήτηρ ἐστὶ καὶ τροφός. Ὠδυράμεθα δὲ καὶ τὴν γείτονα τῆς ὑμετέρας Λιβύην, τῶν ἡμετέρων κακῶν ἀπολαύουσαν καὶ θηριώδει ἤθει παραδοθεῖσαν ἀνδρὸς ὠμότητί τε ὁμοῦ καὶ ἀκολασίᾳ συζῶντος. Τοῦτο ἦν ἄρα τοῦ Ἐκκλησιαστοῦ τὸ σοφόν· «Οὐαί σοι πόλις ἧς ὁ βασιλεύς σου νεώτερος (ἐνταῦθα δέ ἐστί τι καὶ χαλεπώτερον) καὶ οἱ ἄρχοντές σου οὐκ ἀπὸ νυκτὸς ἐσθίουσιν»[1], ἀλλὰ μεσούσης τῆς ἡμέρας ἀκολασταίνουσι, βοσκημάτων ἀλογώτερον ἀλλοτρίοις γάμοις ἐπιμαινόμενοι. Ἐκεῖνον μὲν οὖν αἱ μάστιγες μένουσι παρὰ τοῦ δικαίου κριτοῦ, τῷ ἴσῳ μέτρῳ ἀντιμετρηθησόμεναι ἃς αὐτὸς προλαβὼν ἐπέθηκε τοῖς ἁγίοις αὐτοῦ. Ἐγνωρίσθη δὲ καὶ τῇ Ἐκκλησίᾳ ἡμῶν ἐκ τῶν γραμμάτων τῆς σῆς θεοσεβείας, καὶ ἀποτρόπαιον αὐτὸν πάντες ἡγήσονται, μὴ πυρός, μὴ ὕδατος, μὴ σκέπης αὐτῷ κοινωνοῦντες, εἴπερ τι ὄφελος τοῖς οὕτω κεκρατημένοις κοινῆς καὶ ὁμοψήφου καταγνώσεως. Ἀρκοῦσα δὲ αὐτῷ στήλη καὶ αὐτὰ τὰ γράμματα ἀναγινωσκόμενα πανταχοῦ. Οὐ γὰρ διαλείψομεν πᾶσιν αὐτοῦ καὶ οἰκείοις καὶ φίλοις καὶ ξένοις ἐπιδεικνύντες. Πάντως δέ, κἂν μὴ ἄψωνται αὐτοῦ παραχρῆμα τὰ ἐπιτίμια, ὥσπερ τοῦ Φαραώ, ἀλλ' εἰς ὕστερόν ποτε βαρεῖαν αὐτῷ καὶ ἀλγεινὴν τὴν ἀνάδοσιν οἴσει.

Ἐπιστολὴ 61. Ἐγράφη τὸ 371, πρώτη ἀπὸ τὰς σωζομένας ἐπιστολὰς τοῦ Βασιλείου πρὸς τὸν Ἀθανάσιον. Ὁ Ἀθανάσιος τοῦ ἐγνωστοποίησεν ἀπόφασίν του περὶ ἀφορισμοῦ διεστραμμένου κυβερνήτου τῆς Λιβύης, ὁ ὁποῖος κατήγετο ἐκ Καππαδοκίας. Πιθανῶς ὁ κυβερνήτης αὐτὸς ἦτο ἐπίσης Ἀρειανός.

1. Ἐκκλησ. 10, 16.

63

ΕΠΙΣΤΟΛΗ 61

ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ἀνέγνωσα τὰ γράμματα τῆς ὁσιότητός σου, εἰς τὰ ὁποῖα ἐκφράζεις στεναγμὸν διὰ τὴν διαγωγὴν τοῦ κυβερνήτου τῆς Λιβύης, τοῦ δυσωνύμου ἀνδρός. Καὶ ἐκλαύσαμεν μὲν τὴν ἰδιαιτέραν πατρίδα μας ποὺ εἶναι μήτηρ καὶ τροφὸς τοιούτων κακῶν, ἐκλαύσαμεν δὲ καὶ τὴν γειτονικὴν τῆς ἰδικῆς σας πατρίδος Λιβύην, ἡ ὁποία ἀπολαύει τῶν ἰδικῶν μας κακῶν καὶ παρεδόθη εἰς τὸν θηριώδη χαρακτῆρα ἀνδρὸς ποὺ συζῇ ὁμοῦ εἰς ὠμότητα καὶ ἀκολασίαν. Τοῦτο λοιπὸν ἦτο τὸ σοφὸν τοῦ Ἐκκλησιαστοῦ, «ἀλλοίμονόν σου, πόλις ποὺ ὁ βασιλεύς σου εἶναι ἄπειρος» — ἐδῶ δὲ εἶναι κάτι χειρότερον — «καὶ οἱ ἄρχοντές σου τρώγουν ὄχι τὴν νύκτα»[1]· ἀντιθέτως μάλιστα ἐπιδίδονται εἰς ἀκολασίας τὴν μεσημβρίαν, ἐπιτιθέμενοι μανιωδῶς εἰς τὰς συζύγους ἄλλων, βαναυσότερα ἀπὸ τὰ βοσκήματα. Σχετικῶς λοιπὸν μὲ αὐτόν, τὸν περιμένουν αἱ μάστιγες ἀπὸ τὸν δίκαιον κριτήν, διὰ νὰ τοῦ μετρηθοῦν κατὰ τὸ ἴσον μέτρον ποὺ αὐτὸς ἐνωρίτερα ἐπέβαλεν εἰς τοὺς ἁγίους αὐτοῦ.

Ἔχει δὲ γίνει γνωστὸς καὶ εἰς τὴν Ἐκκλησίαν ἡμῶν ἀπὸ τὰ γράμματα τῆς θεοσεβείας σου, καὶ ὅλοι θὰ τὸν θεωρήσουν ἀποτρόπαιον, καὶ δὲν θὰ μοιράζωνται μαζί του οὔτε πῦρ οὔτε ὕδωρ οὔτε σκέπην, ἐὰν κάτι ἀπὸ αὐτὰ ἠμπορῇ νὰ ὠφελήσῃ ἀνθρώπους καταδικασθέντας μὲ τοιαύτην κοινὴν καὶ ὁμόφωνον ἀπόφασιν. Ἀρκετὴ δὲ στηλίτευσις εἶναι καὶ ἡ εἰς ὅλα τὰ μέρη ἀνάγνωσις αὐτῶν τῶν γραμμάτων. Διότι δὲν θὰ παραλείψωμεν νὰ τὰ δεικνύωμεν εἰς ὅλους, καὶ εἰς συγγενεῖς καὶ εἰς ξένους. Πάντως δέ, ἂν τὰ ἐπιτίμια δὲν τὸν ἐγγίσουν ἀμέσως, ὡς τὸν Φαραώ, κάποτε ἀργότερα θὰ τοῦ ἐπιφέρουν βαρεῖαν καὶ ἀλγεινὴν τιμωρίαν.

64

80. ΑΘΑΝΑΣΙΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ὅσον τῶν Ἐκκλησιῶν τὰ ἀρρωστήματα ἐπὶ τὸ μεῖζον πρόεισι, τοσοῦτον πάντες ἐπὶ τὴν σὴν ἐπιστρεφόμεθα τελειότητα, μίαν ἑαυτοῖς ὑπολείπεσθαι τῶν δεινῶν παραμυθίαν τὴν σὴν προστασίαν πεπιστευκότες, ὅς, καὶ τῇ δυνάμει τῶν προσευχῶν καὶ τῷ εἰδέναι τὰ βέλτιστα τοῖς πράγμασιν ὑποτίθεσθαι, διασώσασθαι ἡμᾶς ἐκ τοῦ φοβεροῦ τούτου χειμῶνος παρὰ πάντων ὁμοίως τῶν καὶ κατὰ μικρὸν ἢ ἀκοῇ ἢ πείρᾳ γνωριζόντων τὴν τελειότητά σου πιστεύῃ. Διὸ μὴ ἀνῇς καὶ προσευχόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν καὶ διεγείρων τοῖς γράμμασιν· ὧν εἰ ᾔδεις ὁπόσον ἐστὶ τὸ ὠφέλιμον, οὐκ ἄν ποτε παραπεσοῦσάν σοι γραμμάτων ἀφορμὴν πρὸς ἡμᾶς ὑπερέβης. Εἰ δὲ καταξιωθείημεν, τῇ συνεργίᾳ τῶν προσευχῶν σου, ἰδεῖν σε καὶ ἀπολαῦσαι τῶν ἐν σοὶ ἀγαθῶν καὶ προσθεῖναι τῇ ἱστορίᾳ τοῦ ἡμετέρου βίου τὴν συντυχίαν τῆς μεγάλης σου ὄντως καὶ ἀποστολικῆς ψυχῆς, πάντως ἂν ἑαυτοῖς ἐλογισάμεθα ὧν ἐθλίβημεν ἐν πάσῃ τῇ ζωῇ ἡμῶν ἀντίρροπον παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐσχηκέναι παραμυθίαν.

65

66. ΑΘΑΝΑΣΙΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

1. Οὐδένα τοσοῦτον ἡγοῦμαι λυπεῖν τὴν παροῦσαν τῶν Ἐκ-

Ἐπιστολὴ 80. Ἐγράφη τὸ 371. Ἴσως χρονολογικῶς δύναται νὰ τοποθετηθῇ δευτέρα ἀπὸ τὰς ἓξ σωζομένας ἐπιστολὰς τοῦ Βασιλείου πρὸς τὸν Ἀθανάσιον.

Ἐπιστολὴ 66. Ἐγράφη τὸ 371. Ὁ Βασίλειος ἐγκαινιάζει μὲ αὐτὴν τώρα τὴν ἐπὶ σοβαρῶν προβλημάτων ἀλληλογραφίαν του μὲ τὸν Ἀθανάσιον Ἀλεξανδρείας, τὸν ὁποῖον ἀναγνωρίζει ὡς τὸν ἡγέτην τῆς Ὀρθοδοξίας. Εἰς ἡλικίαν 76 ἐτῶν πλέον ὁ Ἀθανάσιος (295 – 373), ἦτο τώρα ποὺ ἐγράφετο ἡ ἐπιστολὴ γνώστης ὅλης τῆς ἱστορίας τῆς Ἐκκλησίας ἀπὸ τῆς ἡμέρας τῆς ἀναγνωρίσεως τοῦ Χριστιανισμοῦ (313) καὶ ἑξῆς, ὥστε νὰ δύναται νὰ συγκρίνῃ τὴν παλαιοτέραν λαμπρότητα μὲ τὴν νεωτέραν θλιβερὰν κατάστασιν. Γνώστης ἐπίσης τῶν πραγμάτων τῶν δυτικῶν ἐπαρχιῶν

64

ΕΠΙΣΤΟΛΗ 80
ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ὅσον τὰ ἀρρωστήματα τῶν Ἐκκλησιῶν γίνονται βαρύτερα, τόσον περισσότερον στρεφόμεθα ὅλοι πρὸς τὴν τελειότητά σου, διότι ἔχομεν πιστεύσει ὅτι μόνον μία παραμυθία διὰ τὰ δεινὰ μᾶς ἔχει μείνει, ἡ ἰδική σου προστασία. Πράγματι δὲ ὁμοφώνως ὅλοι ὅσοι γνωρίζουν τὴν τελειότητά σου, ἔστω καὶ ὀλίγον, εἴτε ἐξ ἀκοῆς εἴτε ἐκ προσωπικῆς συναντήσεως, πιστεύουν ὅτι σὺ ἠμπορεῖς νὰ μᾶς διασώσῃς ἀπὸ αὐτὴν τὴν τρικυμίαν, καὶ λόγῳ τῆς δυνάμεως τῶν προσευχῶν σου καὶ λόγῳ τῆς ἱκανότητος νὰ δεικνύῃς τὰ βέλτιστα εἰς τὰς δυσκόλους περιστάσεις. Διὰ τοῦτο, μὴ παύῃς νὰ προσεύχεσαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν καὶ νὰ διεγείρῃς ἡμᾶς μὲ τὰ γράμματα. Ἐὰν ἐγνώριζες πόση εἶναι ἡ ὠφέλεια αὐτῶν, δὲν θὰ παραμελοῦσες καμμίαν εὐκαιρίαν νὰ μᾶς γράφῃς. Ἐὰν δὲ καταξιωθῶμεν μὲ τὴν συνεργίαν τῶν προσευχῶν σου νὰ σὲ ἴδωμεν καὶ ν' ἀπολαύσωμεν τῶν ἀγαθῶν σου καὶ νὰ προσθέσωμεν εἰς τὴν ἱστορίαν τοῦ βίου μας τὴν συνάντησιν τῆς πραγματικὰ μεγάλης καὶ ἀποστολικῆς σου ψυχῆς, θὰ ἐκρίναμεν ὅτι ἐλάβαμεν παραμυθίαν ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ἀντίρροπον δι' ὅλας τὰς θλίψεις ποὺ ἐδοκιμάσαμεν εἰς τὴν ζωήν μας.

65

ΕΠΙΣΤΟΛΗ 66
ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

1. Δὲν πιστεύω ὅτι ἡ σημερινὴ κατάστασις, ἢ μᾶλλον διὰ ν' ἀκριβολογήσωμεν περισσότερον, ἡ σύγχυσις τῶν Ἐκκλη-

---

τῆς Ἐκκλησίας, ὅπου εἶχεν ἐξορισθῇ δύο φοράς, καὶ ἡγέτης ἀνεγνωρισμένος ἀπὸ τὴν συνείδησιν τῆς Ὀρθοδοξίας. Δύο δὲ εἶναι τὰ κύρια προβλήματα, τὰ ὁποῖα κατὰ τὴν ἄποψιν τοῦ ἀποστολέως μόνον τῇ ἐπεμβάσει τοῦ Ἀθανασίου ἠδύναντο νὰ διευθετηθοῦν.

κλησιῶν κατάστασιν, μᾶλλον δὲ σύγχυσιν, εἰπεῖν ἀληθέστερον, ὅσον τὴν σὴν τιμιότητα συγκρίνοντα μὲν τοῖς ἀρχαίοις τανῦν καὶ παρὰ πόσον ταῦτα ἐκείνων ἐξήλλακται λογιζόμενον καὶ ὅτι, εἰ κατὰ τὴν αὐτὴν ὁρμὴν ἐπὶ τὸ χεῖρον ὑπορρέοι τὰ πράγματα, οὐδὲν ἔσται τὸ κωλῦον εἶσω ὀλίγου χρόνου πρὸς ἄλλο τι σχῆμα παντελῶς μεθαρμοσθῆναι τὰς Ἐκκλησίας. Ταῦτα πολλάκις ἐπ' ἐμαυτοῦ γενόμενος διενοήθην, ὅτι, εἰ ἡμῖν οὕτως ἐλεεινὴ τῶν Ἐκκλησιῶν ἡ παρατροπὴ καταφαίνεται, ποίαν τινὰ εἰκὸς ἔχειν ἐπὶ τούτοις ψυχὴν τὸν τῆς ἀρχαίας εὐσταθείας καὶ ὁμονοίας περὶ τὴν πίστιν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ πεπειραμένον; Ἀλλ' ὥσπερ τὸ πολὺ τῆς λύπης τὴν σὴν τελειότητα περίσταται, οὕτως ἡγούμεθα προσήκειν καὶ τῆς ὑπὲρ τῶν Ἐκκλησιῶν μερίμνης τὸ πλέον τῇ σῇ διαφέρειν φρονήσει. Πάλαι οἶδα καὶ αὐτός, κατὰ τὴν ἐνυπάρχουσάν μοι μετρίως τῶν πραγμάτων κατάληψιν, μίαν ἐπιγνοὺς ὁδὸν βοηθείας ταῖς καθ' ἡμᾶς Ἐκκλησίαις, τὴν παρὰ τῶν δυτικῶν ἐπισκόπων σύμπνοιαν. Εἰ γὰρ βουληθεῖεν δν ἀνέλαβον ὑπὲρ ἑνὸς ἢ δύο τῶν κατὰ τὴν Δύσιν ἐπὶ κακοδοξίᾳ φωραθέντων ζῆλον, τοῦτον καὶ ὑπὲρ τῆς παροικίας τῶν καθ' ἡμᾶς μερῶν ἐπιδείξασθαι, τάχα ἄν τι γένοιτο τοῖς κοινοῖς ὄφελος, τῶν τε κρατούντων τὸ ἀξιόπιστον τοῦ πλήθους δυσωπουμένων καὶ τῶν ἑκασταχοῦ λαῶν ἀκολουθούντων αὐτοῖς ἀναντιρρήτως. Τίς οὖν ταῦτα διαπράξασθαι

---

1. Τὸ πρῶτον πρόβλημα ἦτο κατὰ τὴν ἐποχὴν ἐκείνην ἡ ἐπίτευξις τῆς ἐσωτερικῆς εἰρήνης, ἡ ὁποία εἶχε χαθῆ λόγῳ τῆς διασπάσεως αὐτῆς καὶ τῆς πολεμικῆς κατ' αὐτῆς ἐκ μέρους τῶν Ἀρειανῶν, καὶ τῆς ὠμῆς ὑπὲρ τῶν τελευταίων παρεμβάσεως τῆς πολιτείας.

2. Βελτίωσις τῆς καταστάσεως δύναται νὰ ἐπέλθῃ, ἂν οἱ δυτικοὶ ἐπίσκοποι δείξουν ἐνδιαφέρον διὰ τὴν εἰρήνευσιν τῆς Ἀνατολικῆς Ἐκκλησίας· διότι οἱ ἐπίσκοποι αὐτοὶ εἶναι ἐν συνόλῳ προσδεδεμένοι εἰς τὴν ὀρθόδοξον πίστιν, ἐκράτησαν σταθερὰν στάσιν εἰς τὴν μοναδικὴν σχεδὸν περίστασιν παρεκκλίσεως ποὺ ἐνεφάνισεν ὁ ἐπίσκοπος Μεδιολάνων Αὐξέντιος καὶ ἀκολουθοῦνται πιστῶς ὑπὸ τοῦ λαοῦ.

σιῶν, λυπεῖ κανένα ἄλλον τόσον πολὺ ὅσον τὴν τιμιότητά σου· διότι ἐσύ, συγκρίνων τὰ σημερινὰ μὲ τὰ παλαιὰ καὶ συλλογιζόμενος τὴν ἔκτασιν τῆς ἀλλαγῆς τούτων ἀπὸ ἐκεῖνα, ἠμπορεῖς νὰ φθάσῃς εἰς τὸ συμπέρασμα ὅτι, ἂν τὰ πράγματα συνεχίσουν νὰ χειροτερεύουν μὲ τὴν ἰδίαν ὁρμήν, τίποτε δὲν θὰ ἐμποδίσῃ τὰς Ἐκκλησίας νὰ μετασχηματισθοῦν ἐντὸς ὀλίγου χρόνου εἰς ἄλλον ἐντελῶς θεσμόν [1]. Πολλάκις διελογίσθην μόνος μου τὸ ἑξῆς : Ἐὰν εἰς ἡμᾶς ἡ περιπέτεια τῶν Ἐκκλησιῶν φαίνεται τόσον ἐλεεινή, ποῖα αἰσθήματα θὰ ἔχῃ εὐλόγως ἐκεῖνος ποὺ γνωρίζει ἐκ πείρας τὴν ἀρχαίαν εὐστάθειαν καὶ ὁμόνοιαν τῶν Ἐκκλησιῶν εἰς τὰ ζητήματα τῆς πίστεως; Ἀλλ' ἀκριβῶς ὅπως τὸ μεγαλύτερον μερίδιον τῆς λύπης ἔχει πέσει εἰς τὴν τελειότητά σου, οὕτω νομίζομεν ὅτι καὶ τὸ μεγαλύτερον μερίδιον τῆς μερίμνης ὑπὲρ τῶν Ἐκκλησιῶν ἁρμόζει εἰς τὴν φρόνησίν σου.

Καὶ ἐγὼ ἐπίσης, ἀπὸ τὴν μετρίαν κατάληψιν τῶν πραγμάτων τὴν ὁποίαν κατέχω, ἔφθασα ἀπὸ πολὺν καιρὸν εἰς τὸ συμπέρασμα ν' ἀναγνωρίζω μόνον μίαν ὁδὸν βοηθείας πρὸς τὰς Ἐκκλησίας μας, τὴν ἐπίδειξιν συμπαθείας ἐκ μέρους τῶν δυτικῶν ἐπισκόπων. Διότι, ἐὰν θελήσουν νὰ ἐπιδείξουν ὑπὲρ τῆς Ἐκκλησίας τῶν ἰδικῶν μας μερῶν τὸν ἴδιον ζῆλον ποὺ εἶχαν εἰς τὴν περίπτωσιν ἑνὸς ἢ δύο προσώπων εἰς τὴν Δύσιν, τὰ ὁποῖα ἀπεκαλύφθησαν νὰ ἀκολουθοῦν τὴν κακοδοξίαν, ἴσως κάποιον κέρδος θά προέλθῃ εἰς τὰ κοινά [2], διότι καὶ οἱ ἄρχοντες ἐπηρεάζονται ἐνώπιον τῆς νομιμοφροσύνης τοῦ πλήθους καὶ οἱ ἐκεῖ λαοὶ ἀκολουθοῦν πάντοτε τοὺς ἐπισκόπους χωρὶς ἀντίρρησιν [3].

Ποῖος λοιπὸν εἶναι ἱκανώτερος ἀπὸ τὴν σύνεσίν σου νὰ

---

3. Οἱ πολιτικοὶ ἄρχοντες, ὡς ἦτο ὁ τότε φιλαρειανὸς αὐτοκράτωρ Οὐάλης, ἐπηρεάζονται ἀπὸ τὸ φρόνημα τοῦ λαοῦ· ἂν σύσσωμος ἡ ἱεραρχία τῆς Δύσεως μὲ τὸν λαὸν εἰς τὸ πλευρόν της ἀπαιτήσῃ τερματισμὸν τῆς πολιτικῆς παρεμβάσεως εἰς τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς, ἡ φωνή της θὰ ἀκουσθῇ ὑπ' αὐτῶν.

τῆς σῆς συνέσεως δυνατώτερος; Τίς συνιδεῖν τὸ δέον ὀξύτερος; Τίς ἐνεργῆσαι τὰ χρήσιμα πρακτικώτερος; Τίς πρὸς τὴν καταπόνησιν τῶν ἀδελφῶν συμπαθέστερος; Τίς τῆς σεμνοτάτης σου πολιᾶς πάσῃ τῇ Δύσει αἰδεσιμώτερος; Κατάλιπέ τι μνημόσυνον τῷ βίῳ τῆς σῆς ἐπάξιον πολιτείας, τιμιώτατε πάτερ. Τοὺς μυρίους ἐκείνους ὑπὲρ τῆς εὐσεβείας ἄθλους ἐνὶ τούτῳ κατακόσμησον ἔργῳ. Ἔκπεμψόν τινας ἐκ τῆς ἁγίας ὑπὸ σὲ Ἐκκλησίας ἄνδρας δυνατοὺς ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ πρὸς τοὺς κατὰ τὴν Δύσιν ἐπισκόπους, διήγησαι αὐτοῖς τὰς κατασχούσας ἡμᾶς συμφοράς, ὑπόθου τρόπον ἀντιλήψεως, γενοῦ Σαμουὴλ ταῖς Ἐκκλησίαις, πολεμουμένοις τοῖς λαοῖς συγκακοπάθησον, ἀνένεγκε εἰρηνικὰς προσευχάς, αἴτησον χάριν παρὰ τοῦ Κυρίου εἰρήνης τι μνημόσυνον ἐναφεῖναι ταῖς Ἐκκλησίαις. Οἶδα ὅτι ἀσθενεῖς αἱ ἐπιστολαὶ πρὸς συμβουλὴν τοσούτου πράγματος. Ἀλλ' οὔτε αὐτὸς τῆς παρ' ἑτέρων παρακλήσεως χρῄζεις, οὐ μᾶλλόν γε ἡ τῶν ἀγωνιστῶν οἱ γενναιότατοι τῆς παρὰ τῶν παίδων ὑποφωνήσεως, οὔτε ἡμεῖς ἀγνοοῦντα διδάσκομεν, ἀλλ' ἐσπουδακότι τὴν ὁρμὴν ἐπιτείνομεν.

2. Πρὸς μὲν οὖν τὰ λοιπὰ τῆς Ἀνατολῆς ἴσως σοι καὶ πλειόνων συνεργίας προσδεῖ καὶ ἀνάγκη ἀναμένειν τοὺς ἐκ τῆς Δύσεως. Ἡ μέντοι τῆς κατὰ τὴν Ἀντιόχειαν Ἐκκλησίας εὐταξία προδήλως τῆς σῆς ἤρτηται θεοσεβείας, ὥστε τοὺς μὲν οἰκονομῆσαι, τοὺς δὲ καθησυχάσαι, ἀποδοῦναι δὲ τὴν ἰσχὺν τῇ Ἐκκλησίᾳ διὰ

---

4. Τὸ δεύτερον σπουδαῖον ζήτημα ἦτο τὸ τῆς Ἀντιοχειανῆς Ἐκκλησίας. Ἡ Ἐκκλησία αὐτὴ ἀπὸ τὸ 330, ὁπότε ἐξωρίσθη ὁ ὀρθόδοξος ἐπίσκοπός της Εὐστάθιος, ἕως τὸ 360 ἐκυβερνᾶτο ἀπὸ ἀρειανοὺς ἐπισκόπους. Τὸ 360 ἀνῆλθεν εἰς τὸν θρόνον ὁ δυνατὸς μὲν εἰς τὴν θεολογίαν καὶ τὴν διοίκησιν Μελέτιος, ἕως τότε ἐπίσκοπος Μελιτηνῆς, μετριοπαθὴς δὲ εἰς τὸ δογματικὸν θέμα καὶ μέχρι πρὸ ὀλίγου ἀρειανός. Εἴδαμεν εἰσαγωγικῶς τὰς συνθήκας ὑπὸ τὰς ὁποίας ἐχειροτονήθη καὶ δεύτερος ἐπίσκοπος Ἀντιοχείας, ὁ Παυλῖνος, ὁ ὁποῖος ἀνεγνωρίσθη ἀπὸ τοὺς Δυτικούς. Οὕτως ἔχομεν πλέον καὶ

πραγματοποιήσῃ τοῦτο; Ποῖος εἶναι ὀξυνούστερος διὰ ν' ἀντιληφθῇ τί χρειάζεται; Ποῖος εἶναι πρακτικώτερος διὰ νὰ ἐνεργήσῃ τὰ χρήσιμα; Ποῖος ἔχει περισσοτέραν συμπάθειαν πρὸς τὰς θλίψεις τῶν ἀδελφῶν; Ποῖος εἶναι εἰς ὅλην τὴν Δύσιν σεβαστότερος ἀπὸ τὴν λευκὴν κόμην σου; Τιμιώτατε πάτερ, ἄφησε ἕνα μνημόσυνον τοῦ βίου σου ἄξιον τῆς πολιτείας σου. Καταστόλισε ἐκείνους τοὺς μυρίους ἄθλους σου ὑπὲρ τῆς εὐσεβείας μ' ἕνα παρόμοιον ἔργον. Στεῖλε μερικοὺς ἄνδρας τῆς ὑπὸ τὴν φροντίδα σου Ἐκκλησίας, δυνατοὺς εἰς τὴν γνησίαν διδασκαλίαν, πρὸς τοὺς ἐπισκόπους τῆς Δύσεως.

Διηγήσου εἰς αὐτοὺς τὰς συμφορὰς ποὺ μᾶς ἔπληξαν, ὑπόδειξε τρόπον ἐνισχύσεως, γίνε Σαμουὴλ διὰ τὰς Ἐκκλησίας. Μοιράσου τὰς κακουχίας τῶν πολεμουμένων λαῶν, πρόσφερε προσευχὰς ὑπὲρ τῆς εἰρήνης, ζήτησε χάριν ἀπὸ τὸν Κύριον νὰ θεμελιώσῃ εἰς τὰς Ἐκκλησίας ἕνα μνημεῖον εἰρήνης. Γνωρίζω ὅτι αἱ ἐπιστολαὶ εἶναι ἀσθενεῖς διὰ νὰ δώσουν συμβουλὰς διὰ τόσον σπουδαῖον ζήτημα. Ἀλλ' οὔτε ἐσὺ χρειάζεσαι ἀπὸ ἄλλους παράκλησιν περισσότερον ἀπὸ ὅσον χρειάζονται οἱ γενναιότατοι τῶν ἀθλητῶν τὰς ἐνθαρρύνσεις τῶν παιδιῶν, οὔτε ἡμεῖς διδάσκομεν ἄνθρωπον ἀγνοοῦντα, ἀλλ' ἁπλῶς ἐπιτείνομεν τὸν ζῆλον ἀνθρώπου ποὺ ἔβαλεν ἤδη εἰς κίνησιν τὸ ἔργον.

2. Σχετικῶς δὲ μὲ τὰς ἄλλας ὑποθέσεις τῆς Ἀνατολῆς ἴσως σοῦ χρειάζεται ἡ συνεργασία πολλῶν ἀνθρώπων καὶ ἐξ ἄλλου πρέπει νὰ περιμένῃς τοὺς ἐκ τῆς Δύσεως. Ἀλλὰ βεβαίως ἡ εὐταξία τῆς Ἐκκλησίας τῆς Ἀντιοχείας [4] προφανῶς ἐξαρτᾶται ἀπὸ τὴν θεοσέβειάν σου, ὥστε νὰ δύνασαι μερικοὺς μὲν ἐκεῖ νὰ συγκρατήσῃς, ἄλλους δὲ νὰ καθησυχάσῃς καὶ τέλος νὰ ξαναδώσῃς τὴν ἰσχὺν εἰς τὴν Ἐκκλησίαν διὰ τῆς ὁμονοίας.

ἐντὸς τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Ἀντιοχείας σχίσμα. Ἡ Ἐκκλησία Ἀλεξανδρείας, ἔχουσα αὐτὴν τὴν ἐποχὴν στενοὺς δεσμοὺς μὲ τὴν Δύσιν, ἀνεγνώριζε μᾶλλον τὸν Παυλῖνον, ὁ δὲ Βασίλειος ζητεῖ τὴν παρέμβασιν τοῦ Ἀθανασίου, διὰ νὰ παύσῃ τὸ σχίσμα.

τῆς συμφωνίας. Καὶ γὰρ ὅτι ὀφείλεις, κατὰ τοὺς σοφωτάτους τῶν ἰατρῶν, τῆς ἐπιμελείας ἐκ τῶν καιριωτάτων ἄρχεσθαι, παντὸς ἀκριβέστερον αὐτὸς ἐπίστασαι. Τί δ' ἂν γένοιτο ταῖς κατὰ τὴν οἰκουμένην Ἐκκλησίαις τῆς Ἀντιοχείας ἐπικαιριώτερον; Ἢ εἰ συνέβη πρὸς ὁμόνοιαν ἐπανελθεῖν, οὐδὲν ἐκώλυεν, ὥσπερ κεφαλὴν ἐρρωμένην, παντὶ τῷ σώματι ἐπιχορηγεῖν τὴν ὑγείαν. Τῷ ὄντι δὲ τῆς σῆς δεῖται σοφίας καὶ εὐαγγελικῆς συμπαθείας τὰ ἐκείνης τῆς πόλεως ἀρρωστήματα· ἥ γε οὐχ ὑπὸ τῶν αἱρετικῶν διατέτμηται μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν τὰ αὐτὰ φρονεῖν ἀλλήλοις λεγόντων διασπᾶται. Ταῦτα δὲ ἑνῶσαι καὶ εἰς μίαν σώματος συναγαγεῖν ἁρμονίαν ἐκείνου μόνου ἐστὶ τοῦ καὶ τοῖς ξηροῖς ὀστέοις τὴν εἰς νεῦρα καὶ σάρκα πάλιν ἐπάνοδον τῇ ἀφάτῳ αὐτοῦ δυνάμει χαριζομένου. Πάντως δὲ τὰ μεγάλα ὁ Κύριος διὰ τῶν ἀξίων ἑαυτοῦ ἐνεργεῖ. Πάλιν οὖν καὶ ἐνταῦθα τῇ σῇ μεγαλοφυΐᾳ πρέπειν τὴν τῶν τηλικούτων διακονίαν ἐλπίζομεν, ὥστε καταστορέσαι μὲν τοῦ λαοῦ τὸν τάραχον, παῦσαι δὲ τὰς μερικὰς προστασίας, ὑποτάξαι δὲ πάντας ἀλλήλοις ἐν ἀγάπῃ καὶ τὴν ἀρχαίαν ἰσχὺν ἀποδοῦναι τῇ Ἐκκλησίᾳ.

66

67. ΑΘΑΝΑΣΙΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ἐμοὶ μὲν ἐξαρκοῦν ἐφάνη ἐν τοῖς προτέροις γράμμασι πρὸς τὴν σὴν τιμιότητα τοσοῦτον ἐνδείξασθαι ὅτι πᾶν τὸ κατὰ τὴν πίστιν ἐρρωμένον τοῦ κατὰ τὴν ἁγίαν Ἐκκλησίαν Ἀντιοχείας λαοῦ, εἰς μίαν συμφωνίαν χρὴ καὶ ἕνωσιν ἐναχθῆναι, πρὸς τὸ δηλῶσαι

Ἐπιστολὴ 67. Ἐγράφη τὸ 371 ὡς συνέχεια τῆς προηγουμένης ἐπιστολῆς 66. Ὁ Δωρόθεος μετέφερεν εἰς τὸν Ἀθανάσιον τὴν ἐπιστολὴν 66, οὗτος δὲ προβάλλει ὡρισμένα ἐρωτήματα καὶ ζητεῖ διασάφησιν τῶν ἀπόψεων τοῦ Βασιλείου διὰ τὸ θέμα τῆς εἰρηνεύσεως εἰς τὴν Ἐκκλησίαν τῆς Ἀντιοχείας. Ὁ τελευταῖος ἐκθέτει αὐτὰς περισσότερον συγκεκριμένως.

Διότι, τὸ ὅτι ὀφείλεις, κατὰ τὸ πρότυπον τῶν σοφωτάτων ἰατρῶν, ν' ἀρχίσῃς τὴν φροντίδα ἀπὸ τὰ ζωτικώτερα σημεῖα, ἐσὺ γνωρίζεις ἀκριβέστερα ἀπὸ κάθε ἄλλον. Τί δὲ ἠμπορεῖ νὰ θεωρηθῇ ζωτικώτερον διὰ τὰς Ἐκκλησίας τῆς οἰκουμένης ἀπὸ τὴν τῆς Ἀντιοχείας; Ἂν συμβῇ νὰ ἐπανέλθῃ αὐτὴ εἰς τὴν ὁμόνοιαν, τίποτε δὲν θὰ ἐμποδίζῃ νὰ χορηγῇ αὐτή, σὰν ὑγιὴς κεφαλή, τὴν ὑγείαν εἰς ὁλόκληρον τὸ σῶμα.

Πράγματι δὲ τὰ ἀρρωστήματα τῆς πόλεως ἐκείνης χρειάζονται τὴν ἰδικήν σου σοφίαν καὶ εὐαγγελικὴν συμπάθειαν, διότι αὐτὴ δὲν ἔχει μόνον ὑπὸ τῶν αἱρετικῶν κομματιασθῇ, ἀλλὰ διασπᾶται καὶ ἀπὸ ἐκείνους ποὺ βεβαιώνουν ὅτι εἶναι ὁμόφρονες. Τὸ νὰ ἑνώσῃ δὲ αὐτὰ τὰ μέρη καὶ νὰ συναγάγῃ πάλιν εἰς ἁρμονίαν ἑνὸς σώματος ἀνήκει εἰς ἐκεῖνον μόνον ποὺ μὲ τὴν ἀνέκφραστον δύναμίν του χαρίζει πάλιν καὶ εἰς τὰ ξηρὰ ὀστᾶ ἀκόμη νεῦρα καὶ σάρκα. Βεβαίως δὲ τὰ μεγάλα ἔργα του ὁ Κύριος ἐνεργεῖ διὰ τῶν ἀξίων ὀργάνων του. Πάλιν λοιπὸν καὶ ἐδῶ ἐλπίζομεν ὅτι ἡ διευθέτησις τόσων σπουδαίων ζητημάτων ἀπόκειται εἰς τὴν μεγαλοφυΐαν σου, ὥστε νὰ καθησυχάσῃς μὲν τοῦ λαοῦ τὴν ταραχήν, νὰ καταργήσῃς δὲ τὰς κομματικὰς ἡγεσίας, νὰ ὑποτάξῃς ὅλους εἰς ἀλλήλους ἐν ἀγάπῃ, καὶ ν' ἀποδώσῃς εἰς τὴν Ἐκκλησίαν τὴν ἀρχαίαν δύναμίν της.

66

ΕΠΙΣΤΟΛΗ 67
ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Μοῦ ἐφάνη ἀρκετὸν μὲ τὸ προηγούμενον γράμμα μου νὰ ὑποδείξω εἰς τὴν τιμιότητά σου τόσον μόνον, ὅτι ὅλον τὸ τμῆμα τοῦ λαοῦ τῆς ἁγίας Ἐκκλησίας τῆς Ἀντιοχείας, τὸ σταθερὸν εἰς τὴν πίστιν, ἔπρεπε νὰ ὁδηγηθῇ εἰς μίαν ὁμόνοιαν καὶ ἕνωσιν, ἐννοῶν ὅτι τὰ διεσπασμένα τώρα διάφορα κόμματα νὰ

ὅτι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Μελετίῳ δέοι τὰ εἰς μέρη πλείονα νῦν διῃρημένα συνάψαι. Ἐπεὶ δὲ ὁ αὐτὸς οὗτος ὁ ἀγαπητὸς συνδιάκονος ἡμῶν Δωρόθεος ἐναργεστέραν τὴν περὶ τούτων ἐπεζήτησε μνήμην, ἀναγκαίως ἐπισημαινόμεθα ὅτι καὶ πάσῃ τῇ Ἀνατολῇ δι' εὐχῆς καὶ ἡμῖν τοῖς παντοίως αὐτῷ συνημμένοις ἐπιθυμητὸν αὐτὸν ἰδεῖν τὴν Ἐκκλησίαν διέποντα τοῦ Κυρίου, τῇ τε πίστει ἀνεπίληπτον ὄντα καὶ τῷ βίῳ οὐδεμίαν πρὸς τοὺς ἄλλους ἐπιδεχόμενον σύγκρισιν καὶ τῷ τοῦ παντός, ὡς εἰπεῖν, σώματος τῆς Ἐκκλησίας αὐτὸν προεστάναι, τὰ δὲ λοιπὰ οἷον μερῶν ἀποτμήματα εἶναι. Ὥστε πανταχόθεν ἀναγκαῖόν τε ὁμοῦ καὶ συμφέρον τῷ ἀνδρὶ τούτῳ συναφθῆναι τοὺς ἄλλους, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν τοὺς ἐλάττους, περὶ δὲ τοὺς ἄλλους γενέσθαι τινὰ οἰκονομίαν τὴν κἀκείνοις πρέπουσαν καὶ τὸν λαὸν εἰρηνεύουσαν καὶ τῇ σῇ συνέσει καὶ περιβοήτῳ ἐντρεχείᾳ καὶ σπουδῇ ἐπιβάλλουσαν. Πάντως δὲ οὐκ ἔλαθέ σου τὴν ἀνυπέρβλητον φρόνησιν ὅτι ἤδη καὶ τοῖς ὁμοψύχοις σου τοῖς κατὰ τὴν Δύσιν τὰ αὐτὰ ταῦτα συνήρεσεν, ὡς δηλοῖ τὰ γράμματα τὰ διὰ τοῦ μακαρίου Σιλουανοῦ κομισθέντα ἡμῖν.

---

1. Ὁ Βασίλειος εἶχεν ἀποφύγει ν' ἀναφερθῇ συγκεκριμένως εἰς τὸν Μελέτιον, γράφων τὴν προηγουμένην του ἐπιστολήν, διότι ἤθελε νὰ προλειάνῃ τὸ ἔδαφος, διὰ νὰ προετοιμάσῃ καὶ ἑλκύσῃ ὁμαλῶς τὸν Ἀθανάσιον εἰς ὑποστήριξιν τούτου.

2. Ὁ Δωρόθεος, διάκονος τῆς Ἐκκλησίας τῆς Ἀντιοχείας, ἦτο σύνδεσμος μεταξὺ Μελετίου καὶ Βασιλείου, ἐχρησιμοποιεῖτο δὲ ὑπὸ τοῦ δευτέρου ἐπίσης ὡς σύνδεσμος πρὸς τὸν Ἀθανάσιον καὶ τοὺς δυτικοὺς ἐπισκόπους.

ἑνωθοῦν μὲ τὸν θεοφιλέστατον ἐπίσκοπον Μελέτιον [1]. Ἐπειδὴ ὁ ἴδιος ἀγαπητὸς συνδιάκονος ἡμῶν Δωρόθεος [2] ἐζήτησε νὰ καταστήσωμεν σαφεστέραν τὴν περὶ τούτου ἄποψίν μας, θεωροῦμεν ἀναγκαῖον νὰ ἐπισημάνωμεν ὅτι καὶ εἰς ὁλόκληρον τὴν Ἀνατολὴν [3] εἶναι εὐκταῖον καὶ εἰς ἡμᾶς ποὺ συνδεόμεθα μὲ αὐτὸν παντοιοτρόπως εἶναι ἐπιθυμητὸν νὰ ἴδωμεν αὐτὸν νὰ κυβερνᾷ τὴν Ἐκκλησίαν τοῦ Κυρίου, διότι καὶ κατὰ τὴν πίστιν εἶναι ἀνεπίληπτος [4] καὶ κατὰ τὸν βίον του δὲν δέχεται σύγκρισιν μὲ κανένα ἄλλον καὶ οὕτως εἰπεῖν προΐσταται τοῦ ὅλου σώματος τῆς Ἐκκλησίας, ἐνῷ τὰ ἄλλα εἶναι κατὰ κάποιον τρόπον τεμάχια τῶν μελῶν αὐτοῦ.

Ὥστε ἀπὸ πάσης πλευρᾶς εἶναι ἀναγκαῖον ἀλλὰ καὶ συμφέρον ἐπίσης ὅλοι οἱ ἄλλοι νὰ ἑνωθοῦν μὲ τὸν ἄνδρα τοῦτον, ὅπως οἱ μικροὶ μὲ τοὺς μεγάλους ποταμούς· διὰ δὲ τοὺς ἄλλους νὰ γίνῃ τοιαύτη τακτοποίησις, ὥστε καὶ εἰς αὐτοὺς νὰ ἁρμόζῃ καὶ τὸν λαὸν νὰ συμφιλιώσῃ καὶ μὲ τὴν ἰδικήν σου σύνεσιν καὶ περιβόητον δραστηριότητα καὶ φροντίδα νὰ εἶναι σύμφωνος. Ἀσφαλῶς δὲν διαφεύγει τὴν ἀνυπέρβλητον φρόνησίν σου τὸ γεγονὸς ὅτι ἤδη ἡ πρότασις αὐτὴ ἤρεσε καὶ εἰς τοὺς ἐν τῇ Δύσει ὁμοψύχους σου ἀδελφούς, ὅπως ἀποδεικνύει τὸ γράμμα ποὺ ἔφερεν εἰς ἡμᾶς ὁ μακάριος Σιλουανός [5].

---

3. Ὡς Ἀνατολὴν ἐννοεῖ τὰς Ἐκκλησίας τῆς Μικρᾶς Ἀσίας, τῆς Συρίας καὶ τῆς Παλαιστίνης.

4. Οἱ ἀντίπαλοι κατηγοροῦσαν ἀκόμη τὸν Μελέτιον ὡς κρυπτοαρειανόν.

5. Δυστυχῶς ἡ μετριοπαθὴς αὐτὴ λύσις δὲν εὑρέθη τρόπος νὰ τεθῇ εἰς ἐφαρμογήν, ἀναγνωριζομένου τοῦ Μελετίου ὡς ἐπισκόπου Ἀντιοχείας καὶ τακτοποιουμένης τῆς θέσεως τοῦ Παυλίνου κατὰ τρόπον τιμητικόν.

67

69. ΑΘΑΝΑΣΙΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

1. Ἣν ἔκπαλαι περὶ τῆς σῆς τιμιότητος ὑπόληψιν ἔσχομεν, ταύτην ὁ χρόνος προϊὼν ἀεὶ βεβαιοῖ, μᾶλλον δὲ καὶ συναύξει ταῖς προσθήκαις τῶν κατὰ μέρος ἐπιγινομένων. Ὅτι τῶν μὲν ἄλλων τοῖς πλείστοις ἐξαρκεῖ τὸ καθ' ἑαυτὸν ἕκαστον περισκοπεῖν, σοὶ δὲ οὐχ ἱκανὸν τοῦτο, ἀλλ' ἡ μέριμνά σοι πασῶν τῶν Ἐκκλησιῶν τοσαύτη ὅση καὶ τῆς ἰδίως παρὰ τοῦ κοινοῦ Δεσπότου ἡμῶν ἐμπιστευθείσης ἐπίκειται, ὅς γε οὐδένα χρόνον διαλείπεις διαλεγόμενος, νουθετῶν, ἐπιστέλλων, ἐκπέμπων τινὰς ἑκάστοτε τοὺς ὑποτιθεμένους τὰ βέλτιστα. Καὶ νῦν δὲ ἀπὸ τοῦ ἱεροῦ πληρώματος τοῦ ὑπὸ σὲ κλήρου τὸν αἰδεσιμώτατον ἀδελφὸν Πέτρον ἐκπεμφθέντα μετὰ πολλῆς χαρᾶς ἐδεξάμεθα καὶ τὸν ἀγαθὸν αὐτοῦ τῆς ἀποδημίας σκοπὸν ἀπεδεξάμεθα, ὃν ἐπιδείκνυται, κατ' ἐντολὰς τῆς σῆς τιμιότητος, τὰ ἀντιτείνοντα προσαγόμενος καὶ τὰ διεσπασμένα συνάπτων. Ὅθεν τι καὶ ἡμεῖς συμβαλέσθαι τῇ περὶ τοῦτο σπουδῇ βουληθέντες ἐνομίσαμεν ἐπιτηδειοτάτην ἀρχὴν τοῖς πράγμασι δώσειν, εἰ, ὥσπερ ἐπὶ κορυφὴν τῶν ὅλων, τὴν σὴν ἀναδράμοιμεν τελειότητα καὶ σοὶ συμβούλῳ τε χρησαίμεθα καὶ ἡγεμόνι τῶν πράξεων. Ὅθεν καὶ τὸν ἀδελφὸν Δωρόθεον τὸν διάκονον τῆς ὑπὸ τὸν τιμιώτατον ἐπίσκοπον Μελέτιον Ἐκκλησίας, ἀγαθῷ κεχρημένον περὶ τὴν τῆς πίστεως ὀρθότητα ζήλῳ καὶ ἐπιθυμοῦντα καὶ αὐτὸν τὴν εἰρήνην τῶν Ἐκκλησιῶν ἐπιδεῖν, πρὸς τὴν σὴν θεοσέβειαν ἀναπέμψαι, ὥστε ταῖς σαῖς ὑποθήκαις ἀκολουθοῦντα (ἃς

Ἐπιστολὴ 69. Ἐγράφη ἀργὰ τὸ φθινόπωρον τοῦ 371 ἐν συνεχείᾳ πρὸς τὰς προηγουμένας. Ὁ Βασίλειος στέλλει διὰ τρίτην φορὰν τὸν διάκονον Δωρόθεον, ζητῶν ἀπὸ τὸν Ἀθανάσιον νὰ διαβιβάσῃ ἐπιστολήν του πρὸς τοὺς δυτικοὺς ἐπισκόπους, ἐνῷ καὶ ὁ ἴδιος εἶχεν ἐφοδιάσει τὸν διάκονον μ' ἐπιστολὴν πρὸς αὐτούς. Σκοπὸς τῆς ἐνεργείας εἶναι ν' ἀποστείλῃ ὁ ἐπίσκοπος Ρώμης Δάμασος ἐπιτροπήν, διὰ νὰ φροντίσῃ ὑπὲρ ἄρσεως τοῦ σχίσματος τῆς Ἀντιοχείας, τὸ ὁποῖον ἡ ἀνόητος ἐνέργεια τῶν Δυτικῶν εἶχε προκαλέσει πρὸ δεκαετίας. Προτείνει δὲ νὰ ζητηθῇ ἀπὸ τοὺς Δυτικοὺς νὰ καταδικάσουν τὴν σαβελλιανίζουσαν διδασκαλίαν τοῦ Μαρκέλλου Ἀγκύρας.

67

ΕΠΙΣΤΟΛΗ 69
ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

1. Τὴν ὑπόληψιν ποὺ εἴχαμεν ἀπὸ παλαιὰ διὰ τὴν τιμιότητά σου ἐπιβεβαιώνει πάντοτε ὁ χρόνος, καθὼς προχωρεῖ, μᾶλλον δὲ καὶ τὴν αὐξάνει μὲ τὰς νέας μαρτυρίας τῶν ἐπὶ μέρους γεγονότων. Εἰς μὲν τοὺς περισσοτέρους ἀπὸ τοὺς ἄλλους εἶναι ἀρκετὸν νὰ φροντίζῃ ὁ καθένας τὸ ἰδιαίτερον ἔργον του, δι' ἐσὲ δὲ τοῦτο δὲν εἶναι ἱκανόν, ἀλλ' ἡ μέριμνά σου δι' ὅλας τὰς Ἐκκλησίας εἶναι τόσον μεγάλη, ὅση εἶναι καὶ δι' ἐκείνην τὴν ὁποίαν ὁ κοινὸς Δεσπότης ἡμῶν σοῦ ἐνεπιστεύθη ἰδιαιτέρως. Διότι δὲν παύεις οὔτε στιγμὴν νὰ διαλέγεσαι, νὰ νουθετῇς, νὰ στέλλῃς γράμματα, ν' ἀποστέλλῃς εἰς κάθε εὐκαιρίαν ἀνθρώπους ποὺ δίδουν τὴν ἀρίστην συμβουλήν. Καὶ τώρα δὲ τὸν αἰδεσιμώτατον ἀδελφὸν Πέτρον, σταλέντα ἀπὸ τὸ ἱερὸν πλήρωμα τοῦ ὑπὸ τὴν ἐπιστασίαν σου κλήρου, ἐδέχθημεν μὲ πολλὴν χαρὰν καὶ ἐξετιμήσαμεν τὸν ἀγαθὸν σκοπὸν τοῦ ταξιδίου του, τὸν ὁποῖον ἐκθέτει κατ' ἐντολὴν τῆς τιμιότητός σου, προσπαθῶν νὰ ἐπιτύχῃ συμφιλίωσιν τῶν ἀντιτιθεμένων καὶ συνάφειαν τῶν διεσπασμένων.

Θελήσαντες λοιπὸν καὶ ἡμεῖς νὰ συμβάλωμεν εἰς τὴν σχετικὴν προσπάθειαν, ἐνομίσαμεν ὅτι θὰ ἐκάμαμεν καταλληλοτάτην ἔναρξιν τοῦ πράγματος, ἐὰν ἀναφερθῶμεν πάλιν εἰς τὴν τελειότητά σου, ὡς τὴν κορυφὴν τῶν ὅλων, καὶ χρησιμοποιήσωμεν ἐσὲ ὡς σύμβουλον καὶ ὁδηγὸν τῶν πράξεων. Διὰ τοῦτο καὶ τὸν ἀδελφὸν Δωρόθεον, τὸν διάκονον τῆς ὑπὸ τὸν τιμιώτατον ἐπίσκοπον Μελέτιον Ἐκκλησίας, ἐπιδεικνύοντα θερμὸν ζῆλον διὰ τὴν ὀρθόδοξον πίστιν καὶ ἐπιθυμοῦντα νὰ ἴδῃ καὶ αὐτὸς τὴν εἰρήνην τῶν Ἐκκλησιῶν, ἐστείλαμεν πάλιν πρὸς τὴν θεοσέβειάν σου, ὥστε ἀκολουθῶν τὰς συμβουλάς σου (τὰς ὁποίας εἶσαι εἰς θέσιν νὰ ἔχῃς ἀσφαλεστέρας καὶ λόγῳ τῆς ἡλικίας καὶ λόγῳ τῆς μεγάλης πείρας τῶν πραγμάτων

καὶ τῷ χρόνῳ καὶ τῇ τῶν πραγμάτων πείρᾳ καὶ τῷ ὑπὲρ τοὺς ἄλλους ἔχειν τὴν ἐκ τοῦ Πνεύματος συμβουλίαν ἀσφαλεστέρας ποιεῖσθαι δύνασαι), οὕτως ἐγχειρεῖν τοῖς σπουδαζομένοις. Ὃν καὶ ὑποδέξῃ δηλονότι καὶ προσβλέψεις εἰρηνικοῖς ὀφθαλμοῖς, στηρίξας τε αὐτὸν τῇ διὰ τῶν προσευχῶν βοηθείᾳ καὶ ἐφοδιάσας γράμμασι, μᾶλλον δὲ καὶ παραζεύξας τινὰς τῶν αὐτόθεν σπουδαίων ἐπὶ τὰ προκείμενα ὁδηγήσεις. Ἐφάνη δὲ ἡμῖν ἀκόλουθον ἐπιστεῖλαι τῷ ἐπισκόπῳ Ῥώμης ἐπισκέψασθαι τὰ ἐνταῦθα καὶ δοῦναι γνώμην, ἵνα, ἐπειδὴ ἀπὸ κοινοῦ καὶ συνοδικοῦ δόγματος ἀποσταλῆναί τινας δύσκολον τῶν ἐκεῖθεν, αὐτὸν αὐθεντῆσαι περὶ τὸ πρᾶγμα, ἐκλεξάμενον ἄνδρας ἱκανοὺς μὲν ὁδοιπορίας πόνους διενεγκεῖν, ἱκανοὺς δὲ πραότητι καὶ εὐτονίᾳ ἤθους τοὺς ἐνδιαστρόφους τῶν παρ' ἡμῖν νουθετῆσαι, ἐπιτηδείως δὲ καὶ οἰκονομικῶς κεχρημένους τῷ λόγῳ καὶ πάντα ἔχοντας μεθ' ἑαυτῶν τὰ μετὰ Ἀριμῖνον πεπραγμένα, ἐπὶ λύσει τῶν κατ' ἀνάγκην ἐκεῖ γενομένων, καί, τοῦτο μηδενὸς εἰδότος, ἀψοφητὶ διὰ θαλάσσης ἐπιστῆναι τοῖς ὧδε, ὑπὲρ τοῦ φθάσαι τὴν αἴσθησιν τῶν ἐχθρῶν τῆς εἰρήνης.

2. Ἐπιζητεῖται δὲ κἀκεῖνο παρά τινων τῶν ἐντεῦθεν, ἀναγκαίως, ὡς καὶ αὐτοῖς ἡμῖν καταφαίνεται, τὸ τὴν Μαρκέλλου αἵρεσιν αὐτοὺς ὡς χαλεπὴν καὶ βλαβερὰν καὶ τῆς ὑγιαινούσης πίστεως ἀλλοτρίως ἔχουσαν ἐξαρίσαι. Ἐπεί, μέχρι τοῦ νῦν, ἐν πᾶσιν

---

1. Ἡ σύνοδος τοῦ Ἀριμίνου (Ρίμινι) τῆς Ἰταλίας, συγκροτηθεῖσα τὸ 359, ἀπετελεῖτο κυρίως ἀπὸ δυτικοὺς ἐπισκόπους. Ἐνῷ δὲ ἡ μεγίστη πλειονότης των ἦτο ὀρθόδοξος, ἐστερεῖτο ἡγεσίας, διότι αἱ μεγάλαι προσωπικότητες ἦσαν εἰς τὴν ἐξορίαν κατ' ἀπόφασιν τοῦ αὐτοκράτορος Κωνσταντίου. Οἱ ὀλίγοι Ἀρειανοὶ συνεδρίασαν χωριστά, ἀλλ' ὅταν ἀντιπρόσωποι τῶν δύο μερίδων ἐστάλησαν μὲ τὰς ἀποφάσεις των εἰς τὴν Κωνσταντινούπολιν, οἱ τῆς ὀρθοδόξου ἐπείσθησαν νὰ ὑπογράψουν τὸ ἡμιαρειανικὸν σύμβολον εἰς τὴν Νίκην τῆς Θράκης. Τελικῶς τοῦτο ὑπέγραψαν καὶ τὰ ἄλλα μέλη τῆς συνόδου τοῦ Ἀριμίνου, πάντοτε ὑπὸ πολιτικὴν πίεσιν.

2. Ὁ Μάρκελλος Ἀγκύρας, ζηλωτὴς ὀπαδὸς τῆς Νικαίας, συνεξό-

καὶ λόγῳ τοῦ ὅτι ἀπολαύεις πλουσιώτερον ἀπὸ τοὺς ἄλλους τῆς καθοδηγήσεως τοῦ Πνεύματος), νὰ ἐπιχειρήσῃς αὐτὰ ποὺ προγραμματίζομεν.

Εἶναι φανερὸν ὅτι θὰ τὸν ὑποδεχθῇς καὶ θὰ τὸν κυττάξῃς μὲ εἰρηνικοὺς ὀφθαλμοὺς καὶ ἀφοῦ τὸν στηρίξῃς μὲ τὴν βοήθειαν τῶν προσευχῶν καὶ τὸν ἐφοδιάσῃς μὲ γράμματα, ἢ μᾶλλον τοῦ δώσῃς ὡς συνοδοὺς μερικοὺς τῶν αὐτοῦ δοκίμων ἀνδρῶν, θὰ τὸν ὁδηγήσῃς εἰς τὸν προορισμόν του. Ἐθεωρήσαμεν δὲ ἐπιβεβλημένον νὰ γράψωμεν εἰς τὸν ἐπίσκοπον Ρώμης νὰ δείξῃ ἐνδιαφέρον διὰ τὰς ὑποθέσεις μας καὶ νὰ τοῦ ὑποδείξωμεν, ἐπειδὴ εἶναι δύσκολον ν' ἀποστείλῃ ἀπὸ ἐκεῖ ἀνθρώπους κατὰ κοινὴν καὶ συνοδικὴν ἀπόφασιν, νὰ ρυθμίσῃ τὸ πρᾶγμα αὐτὸς προσωπικῶς· νὰ ἐκλέξῃ δηλαδὴ ἄνδρας ἱκανοὺς νὰ ὑποφέρουν τοὺς κόπους τῆς ὁδοιπορίας, ἱκανοὺς δὲ ἐπίσης διὰ τῆς πραότητος καὶ τῆς θερμότητος τοῦ χαρακτῆρος νὰ νουθετήσουν τοὺς διεστραμμένους μεταξὺ ἡμῶν, ἔχοντας δὲ τὴν δύναμιν ἐπιτηδείου καὶ πειστικοῦ λόγου καὶ φέροντας μαζί των ἔκθεσιν περὶ τῶν γενομένων μετὰ τὴν σύνοδον τοῦ Ἀριμίνου [1], μὲ σκοπὸν τὴν κατάργησιν τῶν μέτρων τὰ ὁποῖα ἐλήφθησαν ἐκεῖ ὑπὸ πίεσιν. Καὶ ἡ ἐπιστολὴ αὐτὴ νὰ γίνῃ χωρὶς νὰ τὸ γνωρίζῃ κανείς, οὕτως ὥστε νὰ φθάσουν ἐδῶ ἀθορύβως διὰ θαλάσσης, χωρὶς νὰ τοὺς ἀντιληφθοῦν οἱ ἐχθροὶ τῆς εἰρήνης.

2. Ἔχουν δὲ μερικοὶ τῶν ἐδῶ ἡγετῶν τὴν ἀξίωσιν, πρᾶγμα ἀναγκαῖον ὅπως πιστεύομεν καὶ ἡμεῖς οἱ ἴδιοι, νὰ καταδικάσουν οἱ Δυτικοὶ τὴν αἵρεσιν τοῦ Μαρκέλλου [2] εἰς ἐπικίνδυνον καὶ ἐπιβλαβῆ καὶ ξένην πρὸς τὴν ὑγιῆ πίστιν. Ἔχουν δὲ τὴν ἀξίωσιν ταύτην, ἐπειδὴ ἕως τώρα εἰς ὅσα γράμματα στέλ-

---

ριστος δὲ μὲ τὸν Ἀθανάσιον εἰς τὴν Δύσιν κατὰ τὴν πρώτην περίοδον τῆς βασιλείας τοῦ Κωνσταντίου, ἀνέπτυξε διδασκαλίαν σαβελλιανικήν, περὶ τοῦ ὅτι ὁ Λόγος δὲν ἀποτελεῖ ἰδιαιτέραν ὑπόστασιν ἀλλ' ἐξῆλθεν ἀπὸ τὸν Πατέρα δι' ἕνα μόνον διάστημα. Ἐπομένως δὲν ἐδέχετο τὴν Τριάδα. Ἐνῷ δὲ οἱ Ὀρθόδοξοι τῆς Ἀνατολῆς κατεδίκασαν τὴν διδασκαλίαν αὐτήν, οἱ τῆς Δύσεως λόγῳ συμπαθείας πρὸς τὸν Μάρκελλον ἐσιωποῦσαν. Ὁ Ἀθανάσιος εὑρίσκετο εἰς τὸ μέσον.

οἷς ἐπιστέλλουσι γράμμασι, τὸν μὲν δυσώνυμον Ἄρειον ἄνω καὶ κάτω ἀναθεματίζοντες καὶ τῶν Ἐκκλησιῶν ἐξορίζοντες οὐ διαλείπουσι, Μαρκέλλῳ δέ, τῷ κατὰ διάμετρον ἐκείνῳ τὴν ἀσέβειαν ἐπιδειξαμένῳ καὶ εἰς αὐτὴν τὴν ὕπαρξιν τῆς τοῦ Μονογενοῦς θεότητος ἀσεβήσαντι καὶ κακῶς τὴν τοῦ Λόγου προσηγορίαν ἐκδεξαμένῳ, οὐδεμίαν μέμψιν ἐπενεγκόντες φαίνονται. Ὃς Λόγον μὲν εἰρῆσθαι τὸν Μονογενῆ δίδωσι, κατὰ χρείαν καὶ ἐπὶ καιροῦ προελθόντα, πάλιν δὲ εἰς τὸν ὅθεν ἐξῆλθεν ἐπαναστρέψαντα, οὔτε πρὸ τῆς ἐξόδου εἶναι οὔτε μετὰ τὴν ἐπάνοδον ὑφεστάναι. Καὶ τούτου ἀποδείξεις αἱ παρ' ἡμῖν ἀποκείμεναι βίβλοι τῆς ἀδίκου ἐκείνης συγγραφῆς ὑπάρχουσιν. Ἀλλ' ὅμως τοῦτον οὐδαμοῦ διαβάλλοντες ἐφάνησαν, καὶ ταῦτα αἰτίαν ἔχοντες ὡς τὸ ἐξ ἀρχῆς, κατ' ἄγνοιαν τῆς ἀληθείας, καὶ εἰς κοινωνίαν αὐτὸν ἐκκλησιαστικὴν παραδεξάμενοι. Ἐκείνου τε οὖν μνησθῆναι πρεπόντως ἀπαιτεῖ τὰ παρόντα, ὥστε μὴ ἔχειν ἀφορμὴν τοὺς θέλοντας ἀφορμήν, ἐκ τοῦ τῇ σῇ ὁσιότητι συνάπτειν τοὺς ὑγιαίνοντας καὶ τοὺς πρὸς τὴν ἀληθῆ πίστιν ὀκλάζοντας φανεροὺς πᾶσι ποιῆσαι ὥστε τοῦ λοιποῦ γνωρίζειν ἡμᾶς τοὺς ὁμόφρονας καὶ μή, ὡς ἐν νυκτομαχίᾳ, μηδεμίαν φίλων καὶ πολεμίων ἔχειν διάκρισιν. Μόνον παρακαλοῦμεν εὐθὺς ὑπὸ τὸν πρῶτον πλοῦν ἐκπεμφθῆναι τὸν προειρημένον διάκονον, ἵνα δυνηθῇ κατὰ νοῦν τὸ ἐφεξῆς ἔτος γενέσθαι τι ὧν προσευχόμεθα. Ἐκεῖνο δὲ καὶ πρὸ τῶν ἡμετέρων λόγων συνήσεις τε αὐτὸς καὶ φροντιεῖς δηλονότι, ὅπως ἐπιστάντες, ἐὰν Θεὸς θέλῃ, μὴ ἐναφῶσι ταῖς Ἐκκλησίαις τὰ σχίσματα, ἀλλὰ τοὺς τὰ αὐτὰ φρονοῦντας παντὶ τρόπῳ εἰς ἕνωσιν συνελάσωσι, κἂν τινας ἰδίας τῶν πρὸς ἀλλήλους διαφορῶν ἀφορμὰς εὕρωσιν ἔχοντας, ὑπὲρ τοῦ μὴ τὸν ὀρθοδοξοῦντα λαὸν εἰς πολλὰ κατατέμνεσθαι μέρη τοῖς προεστῶσι συναφιστάμενον. Πάντα γὰρ δεῖ σπουδάσαι

---

3. Ἐννοεῖ νὰ μὴ εὑρίσκουν ἀφορμὴν πρῶτον μὲν οἱ ὀπαδοὶ τοῦ Μαρκέλλου, λέγοντες ὅτι ἀκολουθοῦν τὴν Ἐκκλησίαν τῆς Ρώμης ποὺ θεωρεῖ ὀρθόδοξον τὸν Μάρκελλον, δεύτερον δὲ οἱ Ὀρθόδοξοι τῆς Ἀνατολῆς, οἱ μετριοπαθεῖς, οἱ ὁποῖοι δὲν ἤθελαν κοινωνίαν μὲ τὸν Ἀθανάσιον καὶ τοὺς Δυτικούς, λόγῳ τῆς ὑπ' αὐτῶν ἀνοχῆς τοῦ Μαρκέλλου.

λουν ἐκεῖνοι δὲν παύουν ν' ἀναθεματίζουν τὸν Ἄρειον μὲ κάθε τρόπον καὶ νὰ τὸν ἐξορίζουν ἀπὸ τὰς Ἐκκλησίας, ἐνῷ τὸν Μάρκελλον, ὁ ὁποῖος ἐπέδειξε τὴν ἐκ διαμέτρου ἀντίθετον πρὸς ἐκεῖνον ἀσέβειαν καὶ ἠσέβησεν εἰς αὐτὴν ταύτην τὴν ὕπαρξιν τῆς θεότητος τοῦ Μονογενοῦς καὶ ἐδέχθη ἐσφαλμένην ἑρμηνείαν τοῦ ὅρου «Λόγος», δὲν φαίνονται νὰ τὸν κατηγοροῦν διὰ τίποτε.

Καὶ ὅμως αὐτὸς φρονεῖ ὅτι ὁ Μονογενὴς ἔχει ὀνομασθῆ Λόγος ὡς προελθὼν ἐξ ἀνάγκης καὶ ἐπιστρέψας πάλιν εἰς ἐκεῖνον ἀπὸ τὸν ὁποῖον ἐξῆλθε, καὶ ὅτι οὔτε πρὸ τῆς ἐξόδου του ὑπῆρχεν οὔτε μετὰ τὴν ἐπάνοδον ὑπάρχει. Ἀπόδειξις δὲ περὶ τῆς δοξασίας του αὐτῆς εἶναι τὰ ἀντίτυπα τῆς ἀσεβοῦς ἐκείνης συγγραφῆς του ποὺ εἶναι κατατεθειμένα εἰς ἡμᾶς. Ἀλλ' ὅμως δὲν ἐφάνησαν καθόλου νὰ καταδικάζουν αὐτὸν τὸν ἄνθρωπον, καὶ μάλιστα μολονότι ὑπόκεινται εἰς τὴν κατηγορίαν ὅτι τὸν εἶχαν δεχθῆ εἰς ἐκκλησιαστικὴν κοινωνίαν, ἀρχικῶς ἀπὸ ἄγνοιαν τῆς ἀληθείας πράγματι. Αἱ παροῦσαι λοιπὸν περιστάσεις ἀπαιτοῦν νὰ γίνῃ ἡ πρέπουσα μνεία αὐτοῦ, ὥστε νὰ μὴ εὑρίσκουν ἀφορμὴν οἱ ἐπιζητοῦντες ἀφορμήν [3], ἐφ' ὅσον τοὺς μὲν ὑγιεῖς εἰς τὴν πίστιν θὰ ἐνώσῃς μὲ τὴν ὁσιότητά σου, τοὺς δὲ παρεκκλίνοντας ἀπὸ τὴν πίστιν θὰ φανερώσῃς εἰς ὅλους. Ὥστε τοῦ λοιποῦ νὰ γνωρίζωμεν τοὺς ὁμόφρονας καὶ νὰ μὴ συγχέωμεν φίλους καὶ ἐχθρούς, ὅπως συμβαίνει εἰς νυκτερινὴν μάχην. Μόνον παρακαλοῦμεν νὰ προπεμφθῇ ὁ προειρημένος διάκονος εὐθὺς μὲ τὸ πρῶτον πλοῖον, διὰ νὰ καταστῇ δυνατὸν νὰ γίνῃ τὸ προσεχὲς ἔτος κάτι ἀπὸ ὅσα εὐχόμεθα.

Τὸ πρᾶγμα δέ, τὸ ὁποῖον γνωρίζεις πρὶν σοῦ τὸ εἴπωμεν ἡμεῖς καὶ ἀσφαλῶς θὰ τὸ φροντίσῃς, εἶναι τὸ ἑξῆς. Ὅταν, ἂν θέλῃ ὁ Θεός, ἔλθουν ἐδῶ, νὰ μὴ ἀφήσουν σχίσματα εἰς τὰς Ἐκκλησίας, ἀλλὰ νὰ συγκεντρώσουν μὲ κάθε τρόπον εἰς ἑνιαῖον σῶμα ὅλους τοὺς ὁμόφρονας, οὕτως ὥστε ὁ ὀρθόδοξος λαὸς νὰ μὴ διασπᾶται εἰς πολλὰ κόμματα ἀκολουθῶν τοὺς προϊσταμένους του εἰς τὴν διάστασιν. Διότι πρέπει νὰ θεωρήσουν χωρὶς δισταγμὸν ὅλα τὰ πράγματα ὡς ἐρχόμενα εἰς δευτέραν

δεύτερα ἡγήσασθαι τῆς εἰρήνης καὶ πρὸ πάντων τῆς κατὰ Ἀντιόχειαν Ἐκκλησίας ἐπιμεληθῆναι, ὡς μὴ ἀσθενεῖν ἐν αὐτῇ τὴν ὀρθὴν μερίδα περὶ τὰ πρόσωπα σχιζομένην. Μᾶλλον δὲ τούτων ἁπάντων καὶ αὐτὸς εἰς ὕστερον ἐπιμελήσῃ, ἐπειδάν, ὅπερ εὐχόμεθα, Θεοῦ συνεργοῦντος, πάντας λάβῃς τὰ τῆς καταστάσεως τῶν Ἐκκλησιῶν ἐπιτρέποντας.

68

82. ΑΘΑΝΑΣΙΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ὅταν μὲν πρὸς τὰ πράγματα βλέψωμεν καὶ τὰς δυσκολίας κατίδωμεν ὑφ' ὧν πᾶσα ἀγαθοῦ ἐνέργεια οἷον ὑπό τινος δεσμοῦ ἐμποδιζομένη κατέχεται, εἰς ἀπόγνωσιν ἑαυτῶν ἐρχόμεθα παντελῆ· ὅταν δὲ πάλιν πρὸς τὴν σὴν ἀπίδωμεν σεμνοπρέπειαν καὶ λογισώμεθα ὅτι σὲ ἰατρὸν τῶν ἐν ταῖς Ἐκκλησίαις ἀρρωστημάτων ὁ Κύριος ἡμῶν ἐταμιεύσατο, ἀναλαμβάνομεν ἑαυτῶν τοὺς λογισμοὺς καὶ ἐκ τοῦ κατὰ τὴν ἀπόγνωσιν πτώματος τῇ ἐλπίδι τῶν χρηστοτέρων διανιστάμεθα. Λέλυται πᾶσα Ἐκκλησία, ὡς οὐδὲ ἡ σὴ φρόνησις ἀγνοεῖ. Καὶ ὁρᾷς πάντως τὰ ἑκασταχοῦ, οἷον ἀφ' ὑψηλῆς τινος σκοπιᾶς τῆς τοῦ νοῦ θεωρίας, ὅπως, καθάπερ ἐν πελάγει πολλῶν ὁμοῦ συμπλεόντων, ὑπὸ τῆς βίας τοῦ κλύδωνος πάντες ἀλλήλοις προσρήγνυνται καὶ γίνεται τὸ ναυάγιον, πῇ μὲν ἐκ τῆς ἔξωθεν αἰτίας βιαίως κινούσης τὴν θάλατταν, πῇ δὲ ἐκ

Ἐπιστολὴ 82. Ἐγράφη εἴτε εἰς τὸ τέλος τοῦ 371 εἴτε ὀλίγον πρὸ τοῦ Πάσχα τοῦ 372. Εἰς ἀμφοτέρας τὰς περιπτώσεις αὐτὰς ὁ διάκονος Δωρόθεος ἦτο εἰς τὴν Ἀλεξάνδρειαν· κατὰ τὴν πρώτην ἀναμένων εὐκαιρίαν νὰ μεταβῇ εἰς τὴν Ρώμην, κατὰ τὴν δευτέραν ἐπιστρέφων ἐκ τῆς Ρώμης. Ὁ διάκονος εἰδοποίησε τὸν Βασίλειον περὶ τῶν δισταγμῶν τοῦ Ἀθανασίου

μετὰ τὴν εἰρήνην μοῖραν καὶ πρὸ πάντων νὰ φροντίσουν διὰ τὴν Ἐκκλησίαν τῆς Ἀντιοχείας, ὥστε νὰ μὴ ἐξασθενῇ ἡ ἐν αὐτῇ ὀρθόδοξος μερίς, σχιζομένη διὰ προσωπικοὺς λόγους. Μᾶλλον δὲ δι' ὅλα αὐτὰ θὰ φροντίσῃς ἐσὺ ὁ ἴδιος ἔπειτα, ὅταν, ὅπως εὐχόμεθα, μὲ τὴν συνεργίαν τοῦ Θεοῦ ἴδῃς ὅλους νὰ ἀναθέτουν εἰς σὲ τὸ ἔργον τῆς ρυθμίσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων.

68

ΕΠΙΣΤΟΛΗ 82
ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Ὅταν στρέψωμεν τὴν προσοχήν μας πρὸς τὴν κατάστασιν καὶ ἴδωμεν τὰς δυσκολίας ἀπὸ τὰς ὁποίας συγκρατεῖται κάθε ἐνέργεια, σὰν νὰ ἐμποδίζεται ἀπὸ δεσμά, φθάνομεν εἰς τελείαν ἀπόγνωσιν διὰ τὸ μέλλον μας· ὅταν δὲ πάλιν κυττάξωμεν πρὸς τὴν σεμνοπρέπειάν σου καὶ συλλογισθῶμεν ὅτι ὁ Κύριος ἡμῶν ὥρισεν ἐσὲ ὡς ἰατρὸν τῶν εἰς τὰς Ἐκκλησίας ἀρρωστημάτων, ἀναλαμβάνομεν πάλιν τὰς σκέψεις μας καὶ σηκωνόμεθα ἀπὸ τὴν εἰς τὴν ἀπόγνωσιν πτῶσιν πρὸς τὴν ἐλπίδα καλυτέρων περιστάσεων. Ἔχει διαλυθῇ ὁλόκληρος ἡ Ἐκκλησία, ὅπως δὲν ἀγνοεῖ οὔτε ἡ φρόνησίς σου. Καὶ ἀσφαλῶς βλέπεις τὰ συμβαίνοντα παντοῦ μὲ τὴν θεωρίαν τοῦ νοῦ σὰν ἀπὸ κάποιαν ὑψηλὴν σκοπιάν. Βλέπεις νὰ γίνεται ὅ,τι συμβαίνει εἰς τὸ πέλαγος. Ἐκεῖ, ὅταν συμπλέουν πολλοὶ μαζί, προσκρούουν ὅλοι ὁ ἕνας εἰς τὸν ἄλλον, λόγῳ τῆς βιαιότητος τῆς τρικυμίας, καὶ συμβαίνει τὸ ναυάγιον, ἐν μέρει μὲν ἀπὸ τὴν ἐξωτερικὴν αἰτίαν ποὺ κινεῖ τὴν θάλασσαν, ἐν μέρει δὲ ἀπὸ τὴν ταραχὴν τῶν ἐπιβατῶν, καθὼς ἀλληλοεμποδίζονται καὶ

ν' ἀναγνωρίσῃ τὸν Μελέτιον Ἀντιοχείας, πρᾶγμα τὸ ὁποῖον θὰ ἐσήμαινεν οὐσιωδῶς ἐγκατάλειψιν τοῦ Παυλίνου, τὸν ὁποῖον ὑπεστήριξεν ἕως τότε. Εἶχε δὲ ὁ Ἀθανάσιος παράπονα διὰ τὸν Μελέτιον, τὰ ὁποῖα ὁ Βασίλειος ὑπαινίσσεται εἰς ἐπιστολήν του πρὸς τὸν Μελέτιον.

τῆς τῶν ἐμπλεόντων ταραχῆς ἀντιβαινόντων ἀλλήλοις καὶ διωθ μένων . . . Ἄρκεῖ ἐπὶ τῆς εἰκόνος ἐᾶσαι τὸν λόγον, οὔτε τῆς σῆς σοφίας ἐπιζητούσης τι πλέον οὔτε τῆς καταστάσεως ἐπιτρεπούσης ἡμῖν τὴν παρρησίαν. Καὶ πρὸς ταῦτα τίς ἱκανὸς κυβερνήτης; Τίς ἀξιόπιστος διαναστῆσαι τὸν Κύριον ἐπιτιμῆσαι τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ; Τίς ἕτερος ἢ ὁ ἐκ παιδὸς τοῖς ὑπὲρ τῆς εὐσεβείας ἐναθλήσας ἀγῶσιν; Ἐπεὶ οὖν ὥρμηται νῦν γνησίως πᾶν τὸ περὶ ἡμᾶς ὑγιαῖνον κατὰ τὴν πίστιν εἰς τὴν πρὸς τοὺς ὁμοδόξους κοινωνίαν καὶ ἕνωσιν, θαρροῦντες ἤλθομεν εἰς τὴν παράκλησίν σου τῆς ἀνεξικακίας ἐπιστεῖλαι πᾶσιν ἡμῖν ἐπιστολὴν μίαν παραίνεσιν ἔχουσαν τῶν πρακτέων. Οὕτω γὰρ βούλονται παρὰ σοῦ τὴν ἀρχὴν ὑπάρξαι αὐτοῖς τῶν κοινωνικῶν διαλέξεων. Ἐπειδὴ δὲ ἴσως ὕποπτοι καταφαίνονταί σοι τῇ μνήμῃ τῶν παρελθόντων, ἐκεῖνο ποίησον, θεοφιλέστατε πάτερ· ἐμοὶ τὰς πρὸς τοὺς ἐπισκόπους ἐπιστολὰς διάπεμψαι, ἢ διά τινος τῶν αὐτόθεν πιστῶν ἢ καὶ διὰ τοῦ ἀδελφοῦ Δωροθέου τοῦ συνδιακόνου ἡμῶν, ἃς ὑποδεξάμενος οὐ πρότερον δώσω μὴ λαβὼν τὰς παρ' αὐτῶν ἀποκρίσεις· ἐὰν δὲ μή, «Ἡμαρτηκὼς ἔσομαι εἰς σὲ πάσας τὰς ἡμέρας τῆς ζωῆς μου». Πάντως δὲ οὐ πλείονος ἄξιον φόβου τοῦτο τῷ ἐξ ἀρχῆς εἰπόντι πρὸς τὸν πατέρα ἢ ἐμοὶ νῦν πρὸς σὲ τὸν πνευματικὸν πατέρα λέγοντι. Εἰ δὲ τοῦτο παντὶ τρόπῳ ἀπηγόρευται παρὰ σοί, ἀλλ' ἡμᾶς γε τῆς ἐπὶ τῇ διακονίᾳ αἰτίας ἄφες, ἀδόλως καὶ ἀκατασκεύως, ἐπιθυμίᾳ τῆς εἰρήνης καὶ τῆς πρὸς ἀλλήλους ἡμῶν συναφείας τῶν ὁμονοούντων εἰς τὰ πρὸς Κύριον, ἐπὶ τὴν πρεσβείαν ταύτην καὶ μεσιτείαν ἀφικομένους.

---

1. Λουκ. 8, 24.
2. Γεν. 43, 8.
3. Τοὺς λόγους ἀνέφερεν ὁ Ἰούδας πρὸς τὸν πατέρα του, τὸν Ἰακώβ.

ἀλληλοωθοῦνται . . . Ἀρκεῖ ν' ἀφήσωμεν τὴν διήγησιν μόνον εἰς τὴν παρομοίωσιν, ἀφοῦ οὔτε ἡ ἰδική σου σοφία ἀπαιτεῖ τίποτε περισσότερον οὔτε ἡ κατάστασις ἐπιτρέπει εἰς ἡμᾶς ἐλευθερίαν λόγου.

Καὶ ποῖος κυβερνήτης εἶναι ἱκανὸς ν' ἀντιμετωπίσῃ τοιαύτην κατάστασιν; Ποῖος ἔχει τόσην οἰκειότητα ὥστε νὰ ξυπνήσῃ τὸν Κύριον, διὰ νὰ ἐπιτιμήσῃ τὸν ἄνεμον καὶ τὴν θάλασσαν; [1] Ποῖος ἄλλος παρὰ ἐκεῖνος ποὺ ἀπὸ τὴν παιδικήν του ἡλικίαν ἤθλησεν εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας;

Ἐπειδὴ λοιπὸν τώρα ὅλοι οἱ γύρω ἀπὸ ἡμᾶς ὑγιεῖς εἰς τὴν πίστιν ἔχουν κινηθῆ μὲ εἰλικρίνειαν πρὸς τὴν κοινωνίαν καὶ ἕνωσιν μὲ τοὺς ὁμοδόξους, προήλθαμεν μὲ θάρρος νὰ παρακαλέσωμεν τὴν ἀνεξικακίαν σου ν' ἀποστείλῃ εἰς ὅλους ἡμᾶς μίαν ἐγκύκλιον ἐπιστολὴν περιέχουσαν παραίνεσιν περὶ τῶν πρακτέων. Διότι οἱ συνεπίσκοποι θέλουν μὲ αὐτὸν τὸν τρόπον νὰ δοθῇ ἀπὸ ἐσὲ ἡ ἔναρξις τῶν περὶ κοινωνίας συζητήσεων αὐτῶν. Ἐπειδὴ δὲ ἴσως σοῦ φαίνονται ὕποπτοι λόγῳ ἀναμνήσεως τῶν παρελθόντων, κάμε τὸ ἑξῆς, θεοφιλέστατε πάτερ. Στεῖλε εἰς ἐμὲ τὰς ἐπιστολὰς ποὺ θὰ προορίζωνται διὰ τοὺς ἐπισκόπους ἢ δι' ἑνὸς τῶν αὐτοῦ πιστῶν ἢ διὰ τοῦ ἀδελφοῦ Δωροθέου, τοῦ συνδιακόνου ἡμῶν, τὰς ὁποίας, ἀφοῦ δεχθῶ, δὲν θὰ παραδώσω, προτοῦ λάβω τὰς ἀποκρίσεις αὐτῶν. Ἐὰν δὲ δὲν ἐνεργήσω σύμφωνα μὲ αὐτὴν τὴν ὑπόσχεσιν, «θὰ εἶμαι ἀπέναντί σου ἁμαρτωλὸς ὅλας τὰς ἡμέρας τῆς ζωῆς μου» [2]. Αὐτοὶ δὲ οἱ λόγοι ὁπωσδήποτε δὲν ἐνέπνεαν περισσότερον φόβον εἰς ἐκεῖνον ποὺ τοὺς ἐπρόφερε πρῶτος πρὸς τὸν πατέρα του [3] ἀπὸ ὅσον ἐμπνέουν τώρα εἰς ἐμέ, καθὼς τοὺς ἀπευθύνω πρὸς ἐσέ.

Ἐὰν δὲ ἡ πρότασις αὐτὴ ἀπορρίπτεται καθ' ὁλοκληρίαν ἀπὸ σέ, τότε τοὐλάχιστον ἀπάλλαξε ἡμᾶς ἀπὸ κάθε κατηγορίαν διὰ τὰς προσπαθείας μας, διότι ἀνελάβαμεν αὐτὴν τὴν ἀποστολὴν καὶ μεσίτευσιν ἀδόλως καὶ ἀνυστεροβούλως, ἀπὸ ἐπιθυμίαν τῆς εἰρήνης καὶ τῆς ἀμοιβαίας κοινωνίας τῶν ὁμοφρόνων εἰς τὴν πρὸς τὸν Κύριον πίστιν.

69

133. ΠΕΤΡΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Τῆς μὲν σωματικῆς φιλίας ὀφθαλμοὶ πρόξενοι γίνονται καὶ ἡ διὰ μακροῦ χρόνου ἐγγινομένη συνήθεια βεβαιοῖ. Τὴν δὲ ἀληθινὴν ἀγάπην ἡ τοῦ Πνεύματος δωρεὰ συνίστησι συνάπτουσα μὲν τὰ μακρῷ διεστῶτα τῷ τόπῳ, γνωρίζουσα δὲ ἀλλήλοις τοὺς ἀγαπητούς, οὐ διὰ σωματικῶν χαρακτήρων, ἀλλὰ διὰ τῶν τῆς ἀρετῆς ἰδιωμάτων. Ὃ δὴ καὶ ἐφ' ἡμῶν ἡ τοῦ Κυρίου χάρις ἐποίησε παρασχομένη ἡμᾶς ἰδεῖν σε τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς καὶ περιπτύξασθαί σε τῇ ἀγάπῃ τῇ ἀληθινῇ καὶ οἱονεὶ συμφυῆναί σοι καὶ πρὸς μίαν ἐλθεῖν ἕνωσιν ἐκ τῆς κατὰ τὴν πίστιν κοινωνίας. Πεπείσμεθα γάρ σε ἀνδρὸς τοσούτου θρέμμα ὑπάρχοντα καὶ τὴν ἐκ παλαιοῦ διατριβὴν μετ' αὐτοῦ λαχόντα τῷ αὐτῷ πορεύεσθαι πνεύματι καὶ τοῖς αὐτοῖς στοιχεῖν τῆς εὐσεβείας δόγμασι. Διὸ καὶ προσφθεγγόμεθά σου τὴν τιμιότητα καὶ παρακαλοῦμεν μετὰ τῶν ἄλλων καὶ τὴν περὶ ἡμᾶς διάθεσιν τοῦ μεγάλου ἀνδρὸς διαδέξασθαι, ἐπιστέλλειν τε ἡμῖν συνήθως τὰ κατὰ σαυτὸν καὶ ἐπιμελεῖσθαι τῆς πανταχοῦ ἀδελφότητος τοῖς αὐτοῖς σπλάγχνοις καὶ τῇ αὐτῇ προμηθείᾳ ᾗ καὶ ὁ μακαριώτατος ἐκεῖνος περὶ πάντας ἐχρῆτο τοὺς ἀγαπῶντας τὸν Θεὸν ἐν ἀληθείᾳ.

70

266. ΠΕΤΡΩ ΕΠΙΣΚΟΠΩ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

1. Καλῶς μου καθήψω καὶ πρεπόντως πνευματικῷ ἀδελφῷ ἀληθινὴν ἀγάπην παρὰ τοῦ Κυρίου δεδιδαγμένῳ, ὅτι σοι μὴ πάν-

---

Ἐπιστολὴ 133. Ἐγράφη τὸ 373 ὀλίγον μετὰ τὸν θάνατον τοῦ Μεγάλου Ἀθανασίου. Τὸν Ἀθανάσιον διεδέχθη εἰς τὴν ἀρχιεπισκοπικὴν ἕδραν Ἀλεξανδρείας ὁ Πέτρος, ἐκλεγεὶς καθ' ὑπόδειξιν αὐτοῦ ὀλίγας ἡμέρας πρὸ τοῦ θανάτου του. Ὁ Βασίλειος τοῦ ζητεῖ νὰ διαδεχθῇ τὸν μέγαν προκάτοχόν του εἰς ὅλα.

1. Τοῦ Μεγάλου Ἀθανασίου.

Ἐπιστολὴ 266. Ἐγράφη εἰς τὸ τέλος τοῦ 377 καὶ δίδει ἀξιόλογον μαρτυρίαν περὶ τοῦ διεκκλησιαστικοῦ κύρους τοῦ Μεγάλου Βασιλείου. Παρ'

69

ΕΠΙΣΤΟΛΗ 133

ΠΡΟΣ ΠΕΤΡΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Τῆς μὲν σωματικῆς φιλίας πρόξενοι γίνονται οἱ ὀφθαλμοὶ καὶ τὴν ἐνισχύει ἡ οἰκείωσις, ἡ ὁποία δημιουργεῖται διὰ μακρᾶς συναναστροφῆς· τὴν δὲ ἀληθινὴν ἀγάπην γεννᾷ ἡ δωρεὰ τοῦ Πνεύματος, συνάπτουσα τὰ πολὺ ἀπέχοντα κατὰ τὸν τόπον καὶ φέρουσα τοὺς ἀγαπητοὺς εἰς γνωριμίαν μεταξύ των, ὄχι διὰ τῶν σωματικῶν γνωρισμάτων ἀλλὰ διὰ τῶν ἰδιωμάτων τῆς ψυχῆς. Τοῦτο λοιπὸν ἔκαμε καὶ εἰς ἡμᾶς ἡ χάρις τοῦ Κυρίου, ἐπιτρέψασα εἰς ἡμᾶς νὰ σὲ ἴδωμεν μὲ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, καὶ νὰ σὲ περιπτυχθῶμεν μὲ τὴν ἀληθινὴν ἀγάπην καὶ νὰ συγκρασθῶμεν οὕτως εἰπεῖν καὶ νὰ φθάσωμεν εἰς μίαν ἑνότητα διὰ τῆς κατὰ τὴν πίστιν κοινωνίας. Διότι εἴμεθα πεπεισμένοι ὅτι, ὡς θρέμμα ἑνὸς τόσον μεγάλου ἀνδρὸς[1] καὶ ὡς ἄνθρωπος ποὺ εἶχες τὴν τύχην νὰ διάγῃς μαζί του ἀπὸ παλαιά, πορεύεσαι μὲ τὸ ἴδιον πνεῦμα καὶ βαδίζεις ἐν συμφωνίᾳ μὲ τὰ ἴδια δόγματα τῆς εὐσεβείας.

Διὰ τοῦτο χαιρετίζομεν τὴν τιμιότητά σου καὶ σὲ παρακαλοῦμεν νὰ διαδεχθῇς μαζὶ μὲ τὰ ἄλλα καὶ τὴν πρὸς ἡμᾶς εὔνοιαν τοῦ ἀνδρός, νὰ μᾶς στέλλῃς συχνὰ πληροφορίας περὶ τῶν ὑποθέσεών σου καὶ νὰ ἐπιμελῆσαι τῆς πανταχοῦ ἀδελφότητος μὲ τὴν ἰδίαν εὐσπλαγχνίαν καὶ τὴν ἰδίαν προθυμίαν ποὺ ἐδείκνυε καὶ ὁ μακαριώτατος πρὸς ὅλους τοὺς ἀγαπῶντας ἐν ἀληθείᾳ τὸν Θεόν.

70

ΕΠΙΣΤΟΛΗ 266

ΠΡΟΣ ΠΕΤΡΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

1. Καλῶς καὶ πρεπόντως εἰς πνευματικὸν ἀδελφόν, ποὺ ἔχει διδαχθῆ ἀπὸ τὸν Κύριον ἀληθινὴν ἀγάπην, μᾶς ἐπετί-

---

ὅλας τὰς διαφορὰς ἀπόψεων εἰς ὡρισμένα κεφαλαιώδη ζητήματα, ὁ Πέτρος Ἀλεξανδρείας, διάδοχος τοῦ Μεγάλου Ἀθανασίου (373), τὸν θεωρεῖ πρα-

τα καὶ μικρὰ καὶ μείζω φανερὰ ποιοῦμεν τῶν τῆδε. Καὶ γὰρ ἐπιβάλλει καὶ σοὶ φροντίζειν τῶν καθ' ἡμᾶς καὶ ἡμῖν τῇ σῇ ἀγάπῃ ἀναφέρειν τὰ ἡμέτερα. Ἀλλὰ γίνωσκε, τιμιώτατε ἡμῖν καὶ ποθεινότατε ἀδελφέ, ὅτι τὸ συνεχὲς τῶν θλίψεων καὶ ὁ πολὺς οὗτος κλόνος ὁ νῦν σαλεύων τὰς Ἐκκλησίας πρὸς οὐδὲν ἡμᾶς ξενίζεσθαι τῶν γινομένων ποιεῖ. Ὡς γὰρ οἱ ἐν τοῖς χαλκείοις τὰς ἀκοὰς κατακτυπούμενοι ἐν μελέτῃ εἰσὶ τῶν ψόφων, οὕτως ἡμεῖς τῇ πυκνότητι τῶν ἀτόπων ἀγγελιῶν εἰθίσθημεν λοιπὸν ἀτάραχον ἔχειν καὶ ἀπτόητον τὴν καρδίαν πρὸς τὰ παράλογα. Τὰ μὲν οὖν παρὰ τῶν Ἀρειανῶν ἔκπαλαι κατὰ τῆς Ἐκκλησίας σκευωρούμενα, εἰ καὶ πολλὰ καὶ μεγάλα καὶ κατὰ πᾶσαν διαβεβοημένα τὴν οἰκουμένην, ἀλλ' οὖν φορητὰ ἡμῖν ἐστι διὰ τὸ παρὰ φανερῶν ἐχθρῶν καὶ πολεμίων τοῦ λόγου τῆς ἀληθείας γίνεσθαι· οὓς ὅταν μὴ ποιήσωσι τὰ συνήθη, θαυμάζομεν, οὐχ ὅταν μέγα τι καὶ νεανικὸν κατὰ τῆς εὐσεβείας τολμήσωσι. Λυπεῖ δὲ ἡμᾶς καὶ ταράσσει τὰ παρὰ τῶν ὁμοψύχων καὶ ὁμοδόξων γινόμενα. Ἀλλ' ὅμως καὶ ταῦτα, διὰ τὸ πολλὰ εἶναι καὶ συνεχῶς ἐμπίπτειν ἡμῶν ταῖς ἀκοαῖς, οὐδὲ ταῦτα παράδοξα καταφαίνεται. Ὅθεν οὔτε ἐκινήθημεν ἐπὶ τοῖς πρώην γενομένοις ἀτάκτως οὔτε τὰς σὰς διωχλήσαμεν ἀκοάς, τοῦτο μὲν εἰδότες ὅτι αὐτομάτως φήμη διακομίσει τὰ πεπραγμένα, τοῦτο δὲ ἀναμένοντες ἑτέρους ἀγγέλους τῶν λυπηρῶν γενέσθαι, ἔπειτα οὔτε κρίναντες εὔλογον εἶναι ἡμᾶς ἀγανακτεῖν ἐπὶ τοῖς τοιούτοις ὥσπερ δυσχεραίνοντες διὰ τί παρώφθημεν. Αὐτοῖς μέντοι τοῖς ταῦτα ποιήσασιν ἐπεστείλαμεν τὰ πρέποντα παρακαλοῦντες αὐτούς, ἐπειδή τινα διχόνοιαν ἔπαθον οἱ ἐκεῖ ἀδελφοί, τῆς μὲν ἀγάπης μὴ ἀποστῆναι, τὴν δὲ διόρθωσιν ἀναμένειν παρὰ τῶν δυναμένων ἐκκλησιαστικῶς ἰατρεύειν τὰ πταίσματα.

γματικὸν ἡγέτην τῆς Ἐκκλησίας ὅλων τῶν ἀσιατικῶν περιοχῶν. Διὰ τοῦτο παραπονεῖται ὅτι δὲν τοῦ ἀνεκοίνωσεν ὡρισμένας δυσχερείας ποὺ ἐδημιουργήθησαν πάλιν εἰς τὴν Γαλατίαν καὶ ἄλλας περιφερείας.

1. Ἐννοεῖ τὰς ἀταξίας τῆς ὑποδοχῆς ὀπαδῶν τοῦ Μαρκέλλου Ἀγκύρας ἀπὸ μεμονωμένα ἄτομα.

μησες, διότι δὲν σοῦ γνωστοποιοῦμεν ὅλα ὅσα πράττομεν ἐδῶ, μικρὰ καὶ μεγάλα. Διότι ἐπιβάλλεται καὶ σὺ νὰ φροντίζῃς διὰ τὰς ὑποθέσεις μας καὶ ἡμεῖς ν' ἀναφέρωμεν εἰς τὴν ἀγάπην σου τὰ προβλήματά μας. Ἀλλὰ γνώριζε, τιμιώτατε καὶ ἀγαπητότατε εἰς ἡμᾶς ἀδελφέ, ὅτι αἱ συνεχεῖς θλίψεις καὶ αὐτὸς ὁ ἰσχυρὸς κλονισμὸς ποὺ σαλεύει τὰς Ἐκκλησίας συντελοῦν, ὥστε νὰ μὴ παραξενευώμεθα μὲ τίποτα ἀπὸ τὰ συμβαίνοντα. Διότι, ὅπως οἱ ἐργαζόμενοι εἰς τὰ χαλκουργεῖα μὲ τὸ νὰ κατακτυπῶνται εἰς τ' αὐτιά των ἔχουν συνηθίσει εἰς τοὺς κρότους, οὕτω καὶ ἡμεῖς ἀπὸ τὴν συχνότητα τῶν παραδόξων εἰδήσεων συνηθίσαμεν πλέον νὰ ἔχωμεν ἀτάραχον καὶ ἀπτόητον τὴν καρδίαν εἰς τὰ παράλογα συμβάντα.

Ἐπομένως αἱ ἀπὸ ἀνέκαθεν σκευωρίαι τῶν Ἀρειανῶν κατὰ τῆς Ἐκκλησίας, ἂν καὶ εἶναι πολλαὶ καὶ μεγάλαι καὶ πασίγνωστοι εἰς ὁλόκληρον τὴν οἰκουμένην, πάντως εἶναι ὑποφερταί, διότι προέρχονται ἀπὸ φανεροὺς ἐχθροὺς καὶ ἀντιπάλους τοῦ λόγου τῆς ἀληθείας. Αὐτούς, τοὺς θαυμάζομεν ὅταν δὲν πράττουν τὰ συνήθη των ἔργα, ὄχι ὅταν τολμοῦν κάποιαν σπουδαίαν προσβολὴν κατὰ τῆς εὐσεβείας. Ἀντιθέτως μᾶς λυποῦν καὶ μᾶς ταράσσουν τὰ γινόμενα ἀπὸ τοὺς ὁμοψύχους καὶ ὁμοδόξους. Ἀλλ' ὅμως καὶ αὐτά, ἐπειδὴ εἶναι πολλὰ καὶ ἔρχονται συνεχῶς εἰς τ' αὐτιά μας, δὲν μᾶς φαίνονται παράδοξα. Διὰ τοῦτο οὔτε συνεκινήθημεν ἀπὸ τὰς τελευταίας παρατηρηθείσας ἀταξίας[1] οὔτε τὰ ἰδικά σου αὐτιὰ ἠνωχλήσαμεν, ἀφ' ἑνὸς μὲν διότι ἐγνωρίζαμεν ὅτι αὐτομάτως θὰ μεταφέρῃ τὰ πραχθέντα ἡ φήμη, ἀφ' ἑτέρου δὲ διότι ἀνεμέναμεν ἄλλους νὰ γίνουν ἀγγελιαφόροι τῶν κακῶν· καὶ τέλος διότι δὲν ἐκρίναμεν εὔλογον ὅτι θ' ἀγανακτούσατε καὶ σεῖς διὰ τέτοια πράγματα, ὅπως ἐπίσης ὅτι θὰ ἐστενοχωρεῖσθε διὰ τὸ ὅτι σᾶς παρεβλέψαμεν.

